ἀκούσαντα, ἃ μὴ θέμις ἀνθρώπῳ λαλεῖν. ὢ τοῦ θαύματος. ἄνθρωπος εἰς τρίτον οὐρανὸν ἀναβάς; εἰς οὐρανὸν ἄνθρωπος; ποίοις πτεροῖς κουφισθείς; ποίᾳ παραπεμφθεὶς κλίμακι; τίνι τῶν ὑψηλοτάτων ὀρῶν ἀφετηρίᾳ χρησάμενος; ἀλλ' οὐκ ἀναβὰς εἶπεν, ἀλλ' ἁρπαγείς; τοῦ τεραστίου. Μεῖζόν μοι λέγεις τὸ θαῦμα. θεῖον διέξει τὸ χρῆμα. ἄνθρωπος οὐδέποτ' ἂν ἡρπάγη. μὴ θεοῦ προσλαμβάνοντος ἄνθρωπος οὐκ ἂν ἡρπάγη πρὸς οὐρανὸν μὴ τοῦ οὐρανοῦ γενόμενος ἄξιος. θεὸς οὐκ ἂν ἥρπασε τὸν οὐχ ἑαυτὸν ἄξιον αὐτοῦ παρασκευακότα. οὐρανὸς οὐκ ἂν ἐδέξατο, τὸν δὲ μὴ μελέτην ἀεὶ τὴν τῶν γηΐνων ἀπόθεσιν ἐποιεῖτο. ἀνελήφθη καὶ Ηλίας. ἀλλ' ὡς εἰς τὸν οὐρανόν. καὶ οὐδὲ πρῶτον οὐρανὸν ὑπερκύψας. Παῦλος δὲ καὶ τρίτον διέσχεν.

Ηδη δὲ καὶ προφήτην ἕτερος ἰδεῖν εἶπεν ἐπὶ θρόνου

τὸν

τὸν κύριον. ἀλλ᾽ εἶδεν ὄντινα δή ποτε τρόπον, εἶδεν οὐχ ἁρπαγείς. οὐδὲ τῷ βλεπομένῳ συνών. Παῦλος δὲ τηλίκα τε εἶδε, καὶ τίνι συνεῖναι εἶχεν ἐπὶ τοῦ τρίτου οὐρανοῦ, κἂν μὴ λέγω, συλλογίζεσθαι πάντας οἴομαι. Ἔνθους γίνομαι ταῦτα λέγων. οὐκ ἔχω πῶς ἐμαυτὸν ἐπίσχω. ἐβουλόμην πόῤῥωθεν γοῦν ἐκεῖ τὸν Παῦλον ἰδεῖν ἐπὶ τῆς περιφανοῦς ταύτης αὐτῷ δόξης. ἀλλὰ διατειχίσματά μοι στεῤῥὰ, καὶ διοτέλειαν πᾶσαν ὑπερφρονοῦντα, τῶν οὐρανῶν τὰ παραπετάσματα. οὐδὲ τὸν νοῦν ἐκεῖσε καθαρῶς δύναμαι πέμπειν. τί οὖν; ἀκούσομαι μόνον ἐκεῖθεν ἐλθόντος καὶ διηγουμένου τούτου τοῦ Παύλου, καὶ θαυμάσομαι. καὶ προσκυνήσω τὸν μόνον τοιαῦτα ποιεῖν δυνάμενον. καὶ ὁμολογήσω χάριτας τῷ τὴν ἡμετέραν φύσιν οὕτω μεγάλων ἀξιοῦντι χαρίτων. ἀλλ᾽ ὅτι μὲν ἡρπάγη Παῦλος, καὶ οἶδε καὶ ἀποφαίνεται. εἴτε δὲ ἐν τῷ

dentem Dominum ſuper thronum. ſed vidit quomodocunque. Vidit non raptus, neque præſens ei, quem vidit. Paulus verò qualia vidit, & cui in tertio cœlo præſens? etiam me ſilente, omnes id colligere & intelligere reor. Extra me rapior, cum de his ſermocinor, neque me continere valeo. Voluiſſem Paulum in hac ſua illuſtri gloria eminus cōtemplari; ſed valida obſtant interſtitia, omnemque viſioné arcentia cœlorum obſtacula. Neque mentem in cœlum purè tranſmittere queo. Quid igitur? Audiam ſolummodo eum, qui inde venit, Paulum, & admirabor, & venerabor eum ſolum, qui hoc facere potuit: & gratias agam ei, qui noſtram naturam tantis gratiis cumulare dignatus eſt. & quidem Paulum raptum eſſe, nouit ipſe & fatetur: ſiue in corpore.

σώματι

ſiue extra corpus, id in ambiguo relinquit. Cæterũ mihi videtur ex ſubmiſsione hæc dicere; ſi enim & hominem nouit, & exprimit eum, qui raptus eſt; planum fit, etiamſi id occultare conetur; eum cum corpore eò delatum eſſe: homo enim neutrum eorum eſt, ex quibus componitur, ſed eſt ſimul vtrunque.

Circumfertur eiuſmodi fabula à fabulatorib⁹, & qui propriæ turpitudinis monumenta reliquerunt, conficta, in qua ſi quid fide dignum inſit, quanta mox bone Deus, turpitudo inde emicat? ſi verò, vt eſt, pro fabula habeatur, mendacij ſimul & turpitudinis indicium exhibebit. Fabula eſt iſta. Aloidas cum Pelio monti Oſſam impoſuiſsét, iter ad cœlum affectaſſe. Porro licet fabula ſit, & omnia fictè compoſita, iuſtã tamen pœnam, his, qui talia auſi fuere, impoſuit, vt ab

σώματος εἴ τι τούτου χωρίς, εἴτ' ἀμφότερα τῇ γνώμῃ καθίσταται. ἐμοὶ δοκεῖ ὑφειμένῳ φρονήματι ταῦτα λέγων. εἰ γὰρ ἄνθρωπον οἶδε καὶ λέγει τὸν ἁρπαγέντα. δῆλός ἐστι κἂν συσκιάζειν ἀποφάσκῃ μετὰ σώματος ἀνελθών. ἄνθρωπος γὰρ οὐδέτερον καθ' αὐτὸ τούτων ἐξ ὧν ἄνθρωπος. τὸ συναμφότερον δέ.

Περιφέρεται καὶ τοῖς ἀμφὶ τὸν μύθους καλινδουμένοις ὑπομνήματα καταλιποῦσι τῆς οἰκείας ἀσχημοσύνης. τοιάδε τινα. ὧν εἰ μέν τι πιστὸν εἴη, βαβαὶ τῆς αἰσχρότητος. εἰ δ' ὅπερ εἰσὶ τοῦτ' αὐτὸ μένουσι μῦθοι, τοῦ ψεύδους ἅμα καὶ τῆς αἰσχρότητος. δοκεῖ τῷ μύθῳ καὶ τοὺς ἀλωάδας ὄσσαν ἐπιθέντας πηλίῳ, βιάζεσθαι τὴν εἰς οὐρανὸν ἄνοδον. ἀλλὰ καί τοι μῦθος ὤν, καὶ πάντα συντεθεὶς ἐξ αὐτοσχεδίου, δίκην ὅμως τοῖς τολμηταῖς ἐπέθη-

κεν εὔλογον, κακῶς ἀπαλλάξαι ποιήσας τοῦ ἐγχειρήματος. καὶ τοῦτο μύθου τι πλέον ἔσχεν οἷς οὐκ εἰς τέλος ἔγνω περιστῆναι τὴν ἀτοπίαν. ἀνθρώπῳ γὰρ κατ' ἄνθρωπον διαγιγνομένῳ, τίς ἂν μηχανὴ πρὸς οὐρανὸν ἀνάβασιν σχεδιάσεις; Μόνος θεὸς διατίθησι ταῦτα. καὶ μόνος τὸν κατὰ θεὸν ἄνθρωπον εἰς οὐρανὸν ἀνάγειν δίκαιος ἂν εἴη πιστεύεσθαι. πλὴν ἀλλὰ τὰ μὲν τῶν μύθων, ὁδοῦ φασι πάρεργον τοιαῦτα.

incœpto non ſine damno deſiſtere cogerentur, & eò magis aucta eſt fabula, quo minus illi conatum ſuum ad rem contulerũt. Hominem enim, vt homo eſt; quæ nam machina ad cœlum ſubuehat? ſolus Deus hæc efficit; ſolus dignus eſt, qui exiſtimetur hominem ex Dei lege perfectum, in cœlum ſubleuare. Verùm de fabulis hæc obiter.

Τὰ δ' ἡμέτερα. καὶ γὰρ ἡμέτερα λέγω τὰ Παύλου. ἐπεὶ καὶ τἄλλα πάντα ἐκεῖνος ὑπὲρ χριστοῦ καὶ ἡμῶν ὑπέμενε καὶ ἐπραγματεύετο, ταῦτα τὰ ἡμέτερα τῆς ἐκείνων ἀτοπίας ἐκ διαμέτρου φασὶν ἀληθείας μὲν εἴπερ τι τῶν ἁπάντων ἐχόμενα, σεμνότητος δὲ εἰς ἔσχατον ἀφιγμένα· δυνατὰ τῷ ταῦτα διοικονομοῦντι καὶ ῥᾴδια. εἴπερ τὰ τοῖς ἀνθρώποις ἀδύνατα, δυνατὰ τῷ θεῷ. καθάπερ δὲ τὸ κατελ-

Noſtra autem, nam quę Pauli ſunt, noſtra voco. quia reliqua omnia & pro Chriſto & pro nobis ſuſtinebat & agebat, hęc, inquam, noſtra deliriis illorum ex diametro opponuntur; quippe veritati præ omnibus maximè cõformia, & ſummæ grauitatis plena; ſed hæc ei, qui illa adminiſtrat, poſſibilia ſunt & facilia, ſiquidem, quæ hominibus ſunt impoſsibilia, ea Deo poſsibilia ſunt. Quemad-

θεῖν

modum igitur Deum deſcendiſſe de cœlo miraculum eſt, quod omnem admirationem ſuperat; prout vniuerſus terrarū orbis deſcenſu illo ſalutē conſecutus, venerabūdus agnoſcit; ita etiam hominem in cœlum aſcendiſſe, illuſtris miraculi ſpeciem & gratiam præfert. Semel quidem Deus in terra cū hominibus conuerſatus eſt, carne veſtitus, & ſemel in cœlum homo (ſecludo nunc illum, qui Deus & homo eſt) aſcendit. Paulus huius rei teſtis eſt, digna rerum retributio ac repenſio: participatio ſcilicet gloriæ, qua claruit primus, quantum ſecundus illius eſt capax.

Sufficiebat Paulo ad gloriā ab Hieroſolymis, & in circuitu vſque ad Illyricum omnia impleſſe Euangelio; neq; quiſquā eſt, qui hoc præclariſſimis rebus non annumeret: at quo in ordine glo-

θεῖν θεὸν ἐπὶ γῆς, τῶν οὐδεμίαν ὑπερβολὴν θαύματος παραλειπόντων ἐστί. καὶ τοῦτ᾽ ἔδειξεν ἡ σύμπασα γῆ. καὶ τιμήσασα τὸ πρᾶγμα καὶ διὰ τούτου σωθεῖσα, καὶ σέβεται καὶ τὸ εἰς οὐρανοὺς ἄνθρωπον ἀνελθεῖν ἥ τις περιφανὴς ἡ χάρις τοῦ θαύματος. ἅπαξ τε γοῦν ἐπὶ γῆς θεὸς ἀνθρώποις ὡμίλησε σαρκὶ δηλαδὴ καὶ ἅπαξ εἰς οὐρανοὺς ἄνθρωπος. καὶ οὐ λέγω νῦν τὸν θεάνθρωπον, ἀνελήλυθε. Παῦλος οὗτος σοι τὸν λόγον ὄντα παρίστησιν. ἑπόμενον τῷ προτέρῳ τὸ δεύτερον. τοῦτο δ᾽ ἐστὶ τῶν τε πραγμάτων ἀμοιβὴ καὶ ἀντέκτισις. καὶ τῆς τοῦ προτέρου δόξης μετουσία καθ᾽ ὅσον τε τῷ δευτέρῳ.

Καὶ μὴν ὦ τοῦτο πρὸς δόξαν ἤρκεσιν. ἀφ᾽ ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον. καὶ οὐδείς ἐστιν μή, ὃς τοῖς μεγίστοις τοῦτο συναριθμεῖ; ποῦ δόξης ἂν τάττοιτο. Ἐπει-

δὰν

δίαν· καὶ κἀκεῖνο προσλάβῃ τὸ μηδὲ τὸν οὐρανὸν ἄβατον αὐτῷ μεῖναι, ἀλλὰ κἀκεῖνον διερευνήσασθαι· καὶ τῶν ὄντως ἀδύτων εἴσω γενέσθαι· καὶ μείζοσι καὶ ἀπορρητοτέροις ἢ πάντες ἄνθρωποι τετελέσθαι τοῖς μυστηρίοις ἐκεῖ. καὶ ἱεροφάντῃ χρήσασθαι τῷ θεῷ. καὶ ταῦτα δὴ τοῦτον ἔπειθεν ἐπιθυμεῖν ἀναλύσεως, καὶ τοῦ συνεῖναι Χριστῷ. καὶ ἀπὸ τούτων ἤρξατο τοῦ πρὸς τὴν ἐκεῖσε μετάστασιν ἔρωτος. ἀποστολικὸν ὄντως τὸ πάθος καὶ Παύλῳ πρέπον· καὶ χρῆν γὰρ ταύτῃ γε ἔχειν. καὶ τὸν τῶν οὐρανῶν γεγευμένον τὴν γῆν ἀποστρέφεσθαι καὶ σπεύδειν τῆς εἱρκτῆς ἀνεθέντα πρὸς βασίλεια μετοικίζεσθαι. καὶ συγγίνεσθαι διὰ πάντων τῷ βασιλεῖ καὶ συμβασιλεύειν.

Χωρὶς δὲ τούτων, καὶ μεσίτης ἄλλος ἡμῖν τὰ πρὸς τὸν θεὸν δοκεῖ Παῦλος γενέσθαι· καὶ γὰρ καὶ πρεσβείαν ἂν εἴποιμι τοῦτον ἀνάγειν

riæ ponemus, quando & illud acceſsit; cœlum habuiſſe peruium; illudque perſcrutatum eſſe, & in ipſa intima adyta admiſſum, maioribus illic & ineffabilioribus myſteriis initiatum fuiſſe, quàm alios omnes homines, ipſo Deo ſacrorum monſtratore. Et hæc ſuadebant Paulo, vt cuperet *diſſolui & eſſe cum Chriſto*, hinc etiam originem duxit amor ille migrandi in cœlum. Apoſtolica verè hæc affectio, & Paulo conſentanea. Neceſſe erat hærere in terra, & qui cœlum iam guſtauerat, terrâ contemptâ, properare, vt è cuſtodia emiſſus, ad regales ſedes transferretur; Regi ſemper adeſſet, & vnà cum illo regnaret.

Præterea Paulus in iis, quæ ad Deum ſunt, alter nobis mediator factus videtur. nam & legatione fungitur ad cœleſtem il-

illum Regem, & pacem prius pactam, iterũ confirmat; & reſponſa eius (exceptis prorſus arcanis, quæ nemini fas eloqui) ad homines defert. oportebat enim, vt poſt primum, qui nobis pacem annunciauit, Paulus veſtigia eius legens in hanc muneris partem veniret; ac columnam pacis illius erigeret, quin vt & inſtar aquæ in ſublime euectus & extenuatus, iterum, tãquam pluuia, deſcenderet. his, quæ plantauerat, cœleſtem daturus irrogationem. Et huius quidem miraculi magnitudo circa Paulum tantopere venerãda eſt, vel potius omnem venerationem tranſcendit.

Ex altera parte adeſt nobis Petrus, non cum minoribus præconiis & rectè factis, imò adeo elatis & illuſtribus, vt exceptis coapoſtoli Pauli geſtis, comparatione eorum

πρὸς τὸν ἐκεῖ βασιλέα. καὶ τὴν προεσπεισμένην εἰρήνην αὖθις κυροῦν, καὶ ἅπερ ἐκείνου χρηματίζοντος ὅσα δὴ μὴ τῶν ἀπορρήτων λέγω, πρὸς ἀνθρώπους κατακομίζειν. καὶ γὰρ ἔδει μετὰ τὸν πρώτως ἡμῖν εὐαγγελισάμενον τὴν εἰρήνην, καὶ Παῦλον ἐκείνῳ κατ' ἴχνος ἑπόμενον, ἐπὶ πρὸς τοῦτο δὴ τοῦ πράγματος ἥκειν, καὶ στήλην τῆς εἰρήνης ἐκείνης ἱστᾶσθαι. οὐ μὴν δὲ, ἀλλὰ καὶ δίκην ὕδατος μετεωρισθείς τε καὶ λεπτυνθεὶς αὖθις οἷάπερ ὑετὸς κατεῤῥύη, τοῖς ὑπ' αὐτοῦ φυτευθεῖσιν ἀρδείαν παρέξων οὐράνιον. καὶ τὸ μὲν δὴ τοῦδε τοῦ θαύματος μέγεθος, οὕτω σεμνὸν ἢ μᾶλλον ὑπέρσεμνον.

Ἥκει δὲ ἡμῖν ἑτέρωθεν Πέτρος, οὐ μετ' ἐλαττόνων τῶν σεμνολογημάτων. ἀλλ' οὕτω περιφανῶν, ὡς πλὴν τῶν τοῦ συναποστόλου, μηδὲν εἶναι πρὸς τὰ τοῦδε τὰ πάντα. τί γὰρ ἂν εἴποις τὴν ἀντὶ τῆς

ἁπλῆς

ἁπλῆς τῶν οὐρανῶν τριάδος, ἐκδηλότατα τὰ τρισσουμένην ἐνταῦθα τριάδα τοῦτο μὲν τὴν ὑπὸ τοῦ σωτῆρος τριπλῆν ἐρώτησιν, εἰ φιλεῖ. τοῦτο δὲ, τὴν τρὶς γενομένην ὁμολογίαν τοῦ πράγματος. τοῦτο δὲ, τὴν τοσάκις ἐπιτροπὴν τῆς τῶν προβάτων ἐπιστασίας. ἆρ᾽ οὐχὶ σαφέστατα πάντων, κἂν εἰς τρίτον οὐρανὸν φθάνειν τὸ Παύλου σεμνόν. οὐδὲ τὸ Πέτρου, τοιοῦτον, οἷον κάτω δὴ μένειν, ἀλλ᾽ οἷον συνανιέναι τε καὶ συνεξισοῦσθαι.

Ἤρετο μὲν γὰρ τρὶς ὁ σωτὴρ εἰ τῶν ἄλλων πλέον φιλεῖ. ὁ δ᾽ οὕτω σφόδρα, φιλῶν ἦν. καὶ οὕτως ἠξίου μηδὲ πεύσεως ἐπὶ τούτῳ προσδεῖσθαι, μὴ ὅτι γε τὸν εἰδότα τὰ πάντα, ἀλλ᾽ οὐδ᾽ οἱστινοῦν τῶν ἁπάντων, ὥς τε καὶ πρὸς λύπην ἤδη κατέπιπτεν, εἰ οὕτω πολλάκις ἐρωτηθήσεται. ὥσπερ οὐκ ἀρκοῦν οὐδὲ τὸ δὶς ἐρωτῆσαι πλὴν ἀλλ᾽ οὐδέν τι μᾶλλον τὴν ὁμολογίαν ἐπέχειν

cætera omnium aliorum pro nihilo reputetur. An nõ ſimplicis in cœlo Trinitatis tres ſubſiſtentias manifeſtiſsimè hic expreſſas cernis partim per triplicem Chriſti interrogationem, num diligeret: partim ob triplicem confeſsionem rei; partim ob ter cõmiſſam ouium præfecturã. An nõ clariſſimũ, licet in tertiũ cœlũ perueniſſe, Pauli dec⁹ ſit: Petro itidẽ hoc cõuenire, vt nõ in terris hæreat, ſed quaſi cum illo in cœlum introeat, eiq́; coæquetur?

Interrogauit ter Saluator, num cęteris plus diligeret. At ille vehementer diligebat; & ſic interrogatione ne opus quidem eſſe cenſebat, non tantum apud eum, qui omnia nouerat, ſed & apud quoſcunque alios; ita vt etiam in triſtitiam incideret, ob toties repetitam interrogationem; quaſi bis interrogaſſe non ſufficeret. Neq́; tamen triſtitia con-

feſsionem cohibuit; nam amor erga Dominum, quamlibet in contrarium exortam affectionem ferebat: & Saluator quamlibet confeſsionem præfecturę commiſsione ſtatim confirmat. Ex quo ea dignitas Petro venit, qualis nulli alteri; & conſultiſsimum fuerit, hanc gratiam & honorẽ iſtum excellentiſsimum, cum nullo alio cõparare velle. Et licet Paulus ad Chriſtum in cœlum aſcenderit; vt diſceret, quæ diſcere, & alios dicere decet; attamen Petrus eundem iam cœlo delapſum præſentem habebat, & quæ facienda eſſent, & quæ non, exponentem, ſibiq; ouium præfecturam tradentem coram audiebat.

εἰ καὶ λελύπητο. καὶ γὰρ τὸ περὶ τὸν δεσπότην φίλτρον, παντὸς κατεξανιστάμενον ἐπέφερε πάθους. καὶ ὁ σωτὴρ αὐτίκα τῶν ὁμολογιῶν ἑκάστην, τῇ τῆς ἡγεμονίας ἐπιτροπῇ βεβαιῶν φαίνεται. καὶ τὸ ἀξίωμα ἐντεῦθεν οἷον οὐκ ἄλλου. καὶ ἡ χάρις ἄρ᾽ εἰς αὖ ἔχοι μηδεμιᾷ τῶν χαρίτων παραβαλεῖν ἀξιοῦν. καὶ τὰ τῆς τιμῆς ἐκτόπως ὑπερφυᾶ. κἂν εἰς οὐρανοὺς πρὸς Χριστὸν Παῦλος ἀνίῃ, παρ᾽ ἐκείνου μαθησόμενος ἃ δεῖ μαθεῖν, καὶ τοὺς ἄλλους διδάξαι, καὶ Πέτρος κατιόντα πρὸς αὐτὸν ἔχων ἐκεῖνον, καὶ τά τε ποιητέα παιδοτριβοῦντα καὶ μή, καὶ τὴν τῶν προβάτων ἐγχειρίζοντα προστασίαν.

Et cur ego hoc patior? etenim veritas vbiq; recte prædicatur & quodcunque horum in manus ad inquiſitionem ſumo, maius mihi altero, & hoc

Καί τι τοῦτ᾽ ἐγὼ πάσχω; οὐ γὰρ εὖ ἔχει πανταχοῦ τῆς ἀληθείας εἰπεῖν. ὁπότερον τούτων ἀνὰ χεῖρας πρὸς ἐξέτασιν φέρω, μεῖζόν μοι θατέρου καὶ τοῦτ᾽ οὐχὶ μικρὸν φαίνεται.

φαίνεται. τί ποτε οὖν ἐστιν ἐνταῦθα λέγειν; ἢ ὃ καὶ πανταχοῦ τοῦ λόγου πολλάκις, ὡς ἴσα τοῖς ἀποστόλοις τὰ πάντα; κἂν τοῦδε μᾶλλον. ἐκ τοῦ τὰ ἑκατέρου τῶν τοῦ λοιποῦ, καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον ἔχειν δοκεῖν. ἡ ἰσότης αὕτη δὴ σαφεστάτη πασῶν ἔχουσα. καθάπερ δυοῖν πεντάθλων ἰσοπαλής τις ἀντικατάστασις. ὧν θᾶττον θαυμάσειεν ἑκάτερος αὖ ἑκάτερον ἢ ὑπέρσχοι. οὔτε τῷ νικῆσαι, δυνηθεὶς αὖ κατὰ τοῦ ἀνταγωνιστοῦ σεμνύνασθαι, οὔτ' αὐτὸς ἡττηθῆναι τὴν ἐξ ἐκείνου δείσας ὑψηγορίαν. τοιοῦτον τὸ τοῦ Παύλου. τοιοῦτον τὸ τοῦ Πέτρου. τοῦτό γε μὴν καὶ ἔτι κατέχειν ἡμᾶς βούλεται. καὶ οὐκ ἐᾷ πω τὸν λόγον προσωτέρω βαδίζειν.

non hoc exiguo interuallo, apparet. Quid igitur hic dicendū? An id, quod iam paſsim huius orationis decurſu dictum eſt, Apoſtolis omnia eſſe paria? & hoc eò magis, quòd vtrumque extremum & maius & minus habere videatur; quæ eſt apertiſſima æqualitas. Quemadmodum ſi duobus Pentathlis ſeu luctatoribus par lucta exſiſtat; quorū alter citius alterū admirabitur, quàm ſuperet, ita vt neque vincendo poſſit de, aduerſario gloriari, neq; etiam vinci velit, quòd metuat ne aduerſario ſeſe iactādi & magnificè efferēdi occaſionem præbeat. Ita ſe habent res Pauli; ita & Petri. Et hic iterum orationi mora iniicitur; nec vlterius progredi permittitur.

Ὁ μὲν δὴ σωτήρ, ὅτι μὲν οὐκ ἀγνοῶν ἠρώτα τὸ Πέτρου φίλτρον, οὐδ' ἂν εἷς ἀρνήσαιτο, εἰ μὴ μαίνεσθαι βούλοιτο. ὅτι δὲ καὶ τοῖς ἄλλοις

Saluatorem de amore Petri ex ignorantia interrogaſſe; nemo, niſi inſanus, negauerit; ſed quòd hoc fecerit aliis in exem-

plum,&ne,qui ſupremus omnium eſt,iniuſtè videretur, eum. qui paulò antè ceciderat,vicarium ſuo loco conſtituere & præfectura in omnes donare,etiam alij ante nos docuerunt. Nec quòd negauerit,conſiderandum eſt; ſed quòd & ante & poſt negationē tam generoſo pectore fuerit, vt cū Dño ſimul in mortē ire optarit; quodq́; ad ſe reuerſus mòx amare fleuerit. Videtur Deus omnibꝰ illis, qui nunc ex peccatorum cœno ad pietatē vel virtutē veniunt:aut reueniunt, atq; adeo mihi, & tibi pœnitenti, pœnitētiam Petri, qui primus erat, ꝓ exemplari ad imitationē propoſuiſſe, tāquam fortem & validum cadere permiſiſſe, vt ſicut in aliis, ita & in pœnitentia crepido & fundamentum eſſet.

τοῦτο παραστῆσαι φιλοπονούμενος. καὶ τοῦ μὴ δόξαι τοὺς ἄλλους ὑπερβὰς οὐ σὺν δίκῃ, τὸν μικρῷ πρόσθεν πεσόντα χειροτονεῖν ἀνθ' ἑαυτοῦ, καὶ τὴν ἁπάντων ἐγχειρίζειν ἐπιστασίαν, ἐξέθεντο καὶ πρὸ ἡμῶν ἕτεροι, καὶ γὰρ οὐχ ὅτι γε ἠρνήσατο δεῖ σκοπεῖν. ἀλλ' εἰ μὴ τὰ πρὸ τούτου καὶ μετὰ τοῦτο τοιοῦτος ἦν, οἷος καὶ ὑπὲρ τοῦ δεσπότου πρὸς θανάτους ὁμόσε χωρεῖν, καὶ εἰ μὴ παραχρῆμα γενόμενος ἑαυτοῦ πικρῶς ἔκλαυσε, καὶ μή μοι δυσχεράνῃς τῷ πράγματι ὦ τὸν λόγον ἀκούων, εἴ τις ποτε νῦν πρὸς εὐσέβειαν ἢ ἀρετὴν ἔρχῃ ἢ ἐπανέρχῃ. εἰ τὴν ἐμὴν καὶ σὴν καὶ παντὸς οὗτινος οὖν σωτηρίαν ἐκ μετανοίας, ἐπὶ πρώτῳ διεχείρισεν ἡ πρόνοια Πέτρῳ. καὶ τὸν οὕτω στερρὸν ἐφῆκε πεσεῖν, κἀκεῖνον κρηπῖδα καὶ θεμέλιον ὡς ἐν τοῖς ἄλλοις, καὶ τῆς ἡμετέρας κατεβάλετο μετανοίας.

Num verò illos, qui in

Οὐδὲ γὰρ τοῦ ἑνός γε τοῦ

τῆς ἀρετῆς μέρους κατάρξαντας ὡς Ἀβραὰμ εἰπεῖν ἐπὶ φιλοξενίᾳ. καὶ Ἰωσὴφ ἐπὶ σωφροσύνῃ. καὶ ἐπὶ πρᾳότητι Μωϋσῆν. καὶ ἐφ' ἑτέρῳ ἕτερον θαυμασόμεθα. τὸν δὲ τῆς μητρὸς τῶν ἁπασῶν ἀρετῶν ἀρχηγέτην Πέτρον λέγω τῆς μετανοίας, ὡς οὐδέν τι τῶν γενναίων κατωρθωκότα παραδραμούμεθα; πολὺ μὲν τόδε ἂν ἀνδρῶν ἦν ἀγνωμόνων. καὶ εἰ τῶν ἴσων ἠξιοῦμεν. ἀλλὰ μὴ κεφάλαιον ἁπάντων. ὃ δὴ καὶ εἰκὸς ἐτιθέμεθα. καὶ σιγᾶν μοι τἄλλα δοκῶ τῶν ἐνταῦθα λεχθησομένων. πλὴν περιττήν τινι δόξαι τὴν ὑπὲρ τούτων ἀπολογίας. ἔτι γὰρ φήσει τις ἴσως πλείω δεῖ λέγειν. οὐκ ἀπόχρη δὲ τῇ δεσποτικῇ κρίσει προσεῖναι τὸ ἀναντίρρητον, ἢ καὶ Πέτρῳ τὰ πρῶτα τῶν ἄλλων ἔνειμεν; ἀλλ' ἐκεῖνο καὶ αὖθις δὴ λέγωμεν.

vno virtutis genere excelluerunt, vt Abraham in hoſpitalitate, Ioſephũ in ſtudio temperantiæ, & in manſuetudine Moyſen, & alium in alio virtutis genere admirabimur & commẽdabimus; eum verò, qui pœnitẽtiæ, matris omnium virtutum, dux & auſpex eſt; quaſi nihil p̃clarè fecerit, ſilentio tranſmittemus? Hoc certè hominum valdè inſipientium fuerit. Et ſi æqualitatem ſtatuimus; at non dicimus, quòd ſinguli ſint caput omnium, quod meritò poſuimus & aſſeruimus. Alia quidem, quæ hic obiicietur tacitus p̃tereo, excepto illo, ꝙ alicui hæc Apologia ſuperuacua videri poſſet: Quid enim, dixerit fortè quis, plura dicere oportet? An non ſufficit omnis contradictionis expers, Dominica ſententia, quę Petro primas in omnes cõceſsit. Verùm de his iterum diſſeramus.

Ὁ μὲν σωτὴρ, ἧς χάριν εἴρηται, τὸν Πέτρον ἠρώτα.

Saluator eã ob cauſſam, quam expoſui, Petrum

interrogabat. Ille autem, quãuis Coapoſtolis præſentibus, non ad eorum cœtum reſpexit; nec cogitauit, num quis eorum amorem ſuum teſtaturus eſſet; nec ad eorum gratiam reſponſum ſuum attemperauit; nec, ſi nihil aliud, imprudentiæ & arrogãtiæ notam incurrere timuit; ſed ſic à rei veritate omnibus his ſublimiora ſapere induct⁹ eſt; vt & interrogationẽ toties firmaret, quoties Dominũ interrogantem audiebat. Rogabatur enim, num diligeret; & ille ſe diligere aſſerebat; Repoſitum eſt; Paſce oues meas. Nec Saluator interrogaturus erat, niſi hoc Petrum reſponſurum ſciuiſſet: quẽadmodum nec Abrahamo mandaſſet filium immolare, niſi eũ ad id præſtãdum, paratũ nouiſſet: & Petrus niſi conſcius ſibi fuiſſet, ſe nihil à vero abhorrens reſponſurum, nõ auſus fuiſſet hæc om-

ὁ δὲ καίτοι τῶν συναποστόλων παρόντων, οὐ πρὸς τὸ σύστημα ἐκείνων ἀπεῖδεν· οὐκ ἐνενόησεν ὡς ἐκείνων τις φιλεῖσθαι μαρτυρούμενος ἦν. οὐ πρὸς χάριν αὐτοῖς ἐσκέψατο τὴν ἀπόκρισιν δοῦναι· οὐκ, εἰ μηδὲν ἄλλο, τό γε μὴ δόξαν ἀμαθίας καὶ αὐθαδείας ἀπενέγκασθαι ηὐλαβήθη. ἀλλ' οὕτως ὑπὸ τῆς τοῦ πράγματος ἀληθείας, πάντων τούτων ὑψηλότερα προήχθη φρονῆσαι, ὥστε καὶ τὴν ἐρώτησιν τοσάκις ἐκύρωσεν, ὁσάκις τὸν δεσπότην πυνθανόμενον ἤκουεν. ἤκουε μὲν γὰρ εἰ φιλεῖ. διετείνετο δὲ ὡς φιλεῖ, καὶ ἀντήκουε ποιμαίνειν τὰ πρόβατα. καὶ οὔτ' ἂν ὁ σωτὴρ ἐπυνθάνετο, εἰ μὴ τοῦτο τὸν Πέτρον ἀποκριθησόμενον ᾔδει· ὥσπερ οὐδὲ τῷ ἀβραὰμ ἂν, ἐπέταξε τὸν υἱὸν θύειν, εἴ γε μὴ πρὸς τὸ ἔργον ἔμελλεν ἕτοιμος εἶναι. ὅ, τε Πέτρος, εἰ μηδαμῇ συνειδὼς ἦν ἑαυτῷ, μηδὲν πόῤῥω τῶν ὄντων λέγοντι, οὐδ' ἂν ἀπε-

θάῤῥει

θάῤῥει ταῦτα λέγειν τῷ γε πάντα γινώσκοντι. καὶ ἂν πάλιν ὁ σωτὴρ μὴ Πέτρον εἰδὼς τἀληθῆ λέγοντα, οὐκ ἂν τὴν τῶν προβάτων παρέδωκε προστασίαν. οὕτω πάντα δι' ἀλλήλων τε δείκνυται. καὶ ἀλλήλοις προσμαρτυρεῖ. ἅμα γάρ τινι προσκείμενον γέγονε τούτων ἓν θεωρῆσαι, καὶ τὰ λοιπὰ συνθεωρεῖσθαι παρέστηκε καὶ τούτων δίχα τοῦ καὶ τἆλλα συνεῖναι, θαυμάζειν πάρεστιν οὐδὲ ἕν.

Οὐκ ἄχαρι δὲ κἀκεῖνο τοῦ πράγματος συνιδεῖν· καὶ γὰρ ἐπὶ πολλαῖς ἄλλαις ταῖς πρόσθεν ὑπὲρ τῆς ὁμολογίας ἀμοιβαῖς, καὶ τοῦτο δὴ προσετέθη. μικρῶν μὲν οὐδ' ἐκείνων. ταύτης δὲ καὶ ἧς δήποτε βούλει μείζονος, καὶ ὑπεραιρούσης τῷ ἀξιώματι. πρὸς δὲ τούτῳ, καὶ πολλοῦ Πέτρος ἐτιμᾶτο καὶ πλείστης ἐπιστροφῆς ἄξιον ἦγεν. ἴσος αὐτὸς ἑαυτῷ πανταχοῦ δείκνυσθαι. καὶ πρὸς πᾶσαν ἐρώτησιν τὰ κράτιστα ἀπο-

nia ſcienti reſpōdere. Iterum Saluator niſi ſciuiſſet Petrum vera dicere, haud ei ouium præfecturam commiſiſſet. Ita omnia per ſe mutuò demonſtrantur, & ſibi mutuò teſtimonium reddūt: nam ſimul ac quis aliquid horum contemplari ingreditur, reliqua etiam ad conſiderationem ſeſe offerunt: & niſi quis alia intelligat, neq; vnum ꝓ dignitate admirari poterit.

Non iniucundū porro erit & illud perpendere: etenim multis aliis, quæ præceſſerant, confeſsionis retributionibus hoc non eſt adiectum; quamuis nec ipſæ exiguæ eſsēt: at huic quacunque alia, ſi velis, maiori & dignitate eminentiori, hæc merces adiuncta eſt. Ad hæc Petrus valde honorabatur, & cum plurima cura vitam agebat; vbique ſibi ſemper ſimilis; & ad omnem interrogationem aptiſsima queque reddere

promptus; & quę ipſe nequaquam diceret, ſi aliter ſaperet. Quapropter etiã Magiſtrum his, quæ dicebat, ſtatim aſſentientem habebat. Si quid interea patiendum occurrebat, iterũ in eodem, quo antea, ſtatu Petrum videre erat. Propter quæ hoc etiam honore ſuper omnes alios affectus eſt: nam quibus principibus non eſt venerabilior, quibus Regibus non auguſtior? ſolus, quem ſciamus, loco Chriſti, & à Chriſto Paſtor & Doctor omnium gentium vbiq; terrarum conſtitutus eſt, quam dignitatem in perpetuum ſeruat.

κρίνεσθαι. καὶ ἅπερ οὐκ αὐτὸς ἄλλα φρονῶν λέγοι ἐς τὸν διδάσκαλον, εἰς ἔλεγχον εὐθὺς συντιθέμενον εἶχεν. εἰ γὰρ μεταξύ τι συνέβη παθεῖν, ἀλλ' ἦν αὖθις, ὁ πάλαι Πέτρος, ἰδεῖν. δι' ἃ καὶ ταύτης ὑπὲρ ἅπαντας τῆς τιμῆς ἠξιώθη. τίνων ἡγεμόνων οὐχὶ σεμνότερος, τίνων βασιλέων οὐ τιμιώτερος; μόνος ὧν ἴσμεν ἀντὶ Χριστοῦ καὶ παρὰ Χριστοῦ ποιμὴν καὶ διδάσκαλος τῶν ἁπανταχοῦ γῆς ἐθνῶν ᾑρημένος. καὶ τετηρηκὼς ἐς πᾶν τὸ ἀξίωμα.

Ex his igitur facilè videre eſt, quomodo Apoſtolorum decora & ornamenta ſint paria. Ego tamen hoc itidem de Petro apponam, quia & ipſum ad tertium cœlum tẽdit. Quid igitur illud, quod dicere inſtitui? cœlitus demiſſum linteum, quod quatuor initiis Deus ad illum demiſit, in quo erãt

Ἔστι μὲν οὖν ῥᾷστον πᾶσιν ἐντεῦθεν ὁρμωμένοις ἰδεῖν, ὡς τοῖς ἀποστόλοις αἱ λαμπρότητες ἴσαι. ἐμοὶ δὲ κἀκεῖνο τοῦ Πέτρου προσθεῖναι δοκεῖ. πρὸς τρίτον καὶ αὐτὸ τὸν οὐρανὸν ἀνατεῖνον. Τί δή ποτ' οὖν εἰπεῖν βούλομαι; τὴν καθειμένην οὐρανόθεν ὀθόνην. ἣν ἀρχαῖς τέτταρσι θεὸς πρὸς αὐτὸν καθιμήσατο. ᾗ πάντα

δὴ

δὴ φέρουσιν ὅσα πνοῆς ἀλόγου μετέχει. καὶ τὴν ἐκεῖθεν ἀφιεμένην φωνήν. ὡς ἀναστῆναι τοῦτον δεῖ καὶ θύσαντα τῶν ὁρωμένων μεταλαβεῖν. καὶ Πέτρον ἀπαγορεύοντα προσενέγκασθαι τῶν τοιούτων ὡς ἀκαθάρτων. καὶ τὴν φωνὴν οὐχ ἅπαξ, ἀλλὰ δὶς ἤδη καὶ τρὶς ἐπὶ τὸ ἴσον δεῖπνον προτρεπομένην. ἴστε τί δήποτε τὰ τῆς ὁράσεως βούλεται; ὁ γὰρ ἰδὼν ἐξηγήσατο. εἴρηκά τοι πρὸς τρίτον οὐρανὸν ἀνατείνειν καὶ τοῦτο, καὶ αὐτόθεν καταφανές. ὃ γὰρ ἅπαξ ὁ τρίτος σοι δίδωσιν οὐρανός, τοῦτο ἡ ἐκεῖθεν ἀποκάλυψις καὶ φωνή. Τρὶς ἐνεχθεῖσα σαφῶς ἀκοῦσαι. καὶ τό γε ἑκάτερον τῶν Πέτρου καὶ Παύλου θαυμάτων τριάδι τιμηθῆναι. τοῦτο μὲν οὐρανῶν. ἐκεῖνο δὲ θείας φωνῆς, πόθεν οὐκ ἴσον; εἴ τε γὰρ ἔδει τριάδι καὶ τὸ τοῦ Πέτρου δοξασθῆναι, δεδόξασται. εἴ τε θείων ἀκοῦσαι φωνῶν. οὐδὲ τούτων ἀμοιρεῖν φαίνε-

omnis generis animantia rationis expertia; adiuncta hac voce; vt ſurgeret, occideret, manducaret, Petrumq; hæc tanquam immunda tangere renuiſſe; cœleſti voce iam non ſemel, ſed bis & ter eum ad idem epulum inuitante. Scitis quid hæc viſio ſibi velit; nam qui vidit, expoſuit. Dixi hoc etiam ad tertium cœlũ ſpectare; id inde liquet. nam quod tibi ſemel tertium cœlum impertit, hoc etiam tribuit reuelatio & vox inde deſcendens, ter clarè ad aures delapſa, vt ſic vtrunque & Petri & Pauli miraculũ Triade ſeu Trinitate honoretur, hoc quidem trino ſeu tertio cœlo; illud verò, cœleſti voce ter repetita. Quomodo igitur nõ eſt vtrinque ęqualitas? Nam ſi Petri quoq; miraculum Triade glorificari oportebat; glorificatum eſt. Si diuinis vocibus; neq; iſtæ defuerunt. Hinc, quę ipſe

ται

hic velut in vmbratili tabella depicta vidit; egregiè poſtea ad rem contulit. Et vniuerſum orbem prędicatione ſua intus eſſe fecit. Multum illuſtrat Petrũ hæc reuelatio; non minus autem illuſtratur rebus, ad quas hac viſione impellebatur. Hæc de hac viſione dixerim, non pro pręſtantia rei, ſed pro viribus meis.

Illud minimè ſilerem, quomodo Petrus in mõte Thabor reuelatam in Chriſto diuinitatem ſpęctauerit; & patris vocem audiuerit; niſi viderem quoq; alios eodē beneficio decoratos eſſe. Si cui tamē videtur, addamꝰ & hoc; nā & ibi Petrus primas tenuit. Gloriæ huius etiam alij participes facti ſunt; videndum, an non & iſtud prioribus ſimile ſit. Et quidem Apoſtolorum æqualitas in omnibus elucet; & vt in optima Democratia illud: Nihilo plus; Hic inſuper inueni-

ται. ἐντεῦθεν καὶ ἅπερ οὗτος ὡς ἐπὶ σκιαγραφίας εἶδεν, ἐπὶ τῶν ἔργων αὐτῶν περιφανῶς ἐξενήνοχε καὶ πᾶσαν ἐντὸς τὴν οἰκουμένην ἐποιήσατο τῷ κηρύγματι. ἔνδοξα μὲν γὰρ αὐτῷ καὶ τὰ τῆς ἀποκαλύψεως. οὐδὲν δὲ ἧττον καὶ τὰ πράγματα πρὸς ἅπερ ἐνήγετο αὐτὸν τὰ τῆς ὄψεως. τοῦτο μὲν οὖν εἶπον. εἰ καὶ μὴ ὅσον ἐστὶν οἷόςτ' ἐγενόμην ἐνδείξασθαι.

Κἀκεῖνό γε μὴν ἥκιστα ἂν ἐσιώπησα, ὡς παραγυμνουμένην Πέτρος εἶδεν ἐν Χριστῷ κατὰ τὸ Θαβὼρ τὴν θεότητα καὶ τῆς φωνῆς τοῦ πατέρος ἤκουσεν. εἰ μὴ καὶ ἄλλους ἑώρων τοῖς αὐτοῖς ἐλαμπρυνομένους. εἰ δὲ τῷ δοκεῖ καὶ τοῦτο λελέχθαι. καὶ γὰρ ἐπὶ Πέτρῳ γοῦν κἀκεῖ πρώτῳ γεγενημένῳ. Μετασχεῖν ἐξεγένετο καὶ τοῖς ἄλλοις τῆς δόξης. σκοπεῖν χρεὼν εἰ μὴ καὶ τοῦτο τοῖς προτέροις ἐφάμιλλον. Ἡ μὲν δὴ τῶν ἀποστόλων ἰσότης ἐν ἅπασι, καὶ ὡς ἐν ἀρίστῃ δημοκρατίᾳ τὸ μηδὲν πλέον.

καὶ ταῦτα δὴ τὰ ἐκ πλαστίγγων ὀνόματα. ἰσόρροπόν τε καὶ ἰσοστάσιον, οὕτω δέδεικται διὰ πάντων. ἐγὼ δὲ τούτων μὲν ἑκάτερον θαυμάζω οἷα καὶ τὸ λοιπόν. ἄμφω γε μὴν, ὡς οὐκ ἄλλον.

Ἀλλὰ γὰρ ὡς ἐν τοιούτοις, καὶ πρὸς τὰ ῥηθησόμενα τὸν λόγον μετάγοντι. καὶ γὰρ ὑπτίαν μοι καὶ εὐήλατον οἱ μακάριοι νῦν τὴν ὁδὸν ἀνεπέτασαν. οὐκ ἂν ἀφανὲς εἴη τὸ τῶν ἀποστόλων ὑπέρσεμνον. ὅσα γὰρ ἄν τις αὐτοὺς τῶν ἐν ἀνθρώποις σεμνῶν ὀνομάσειεν ἐπελθόντα τῇ μνήμῃ. καὶ ὁμοῦ καὶ καθέκαστον ἐφαρμόσειεν ἂν αὐτοῖς. ὡς οὔτ' ἄλλοις οὐδέσιν, οὔτ' αὐτοῖς ἐκείνοις οἷς προηγουμένως ἐτέθη, καὶ σκοπῶμεν ὧδε. Βασιλεῖς τῆς μεγίστης πασῶν ἐξουσίας ἐν ἀνθρώποις ἐπέβησαν ὅτι δὴ πολλῶν ἐθνῶν καὶ πόλεων ἄρχουσι καὶ στρατόπεδα περιβέβληνται. καὶ ἐς ὑπεροχὴν πλοῦτον περιέκειντο. καὶ τὰς δ' ἀπέρας μὲν

as illa à lancibus petita vocabula; Æqualiter vergens; & pari pōdere conſtans. Ego verò alterum horum admiror ſicut & alterum; ambos autem pluſquam vllum alium.

Sed iam ad vlteriora orationem trāſferamus. Pronam enim & facilem viam Beati mihi nunc aperuerunt: nec obſcura eſt Apoſtolorum præcellentia. Quæcunque enim rebus in humanis pręcellentia excogitari & memorię ſuccurrere poſsūt, illa & ſimul ſumpta & ſigillatim ita illis conueniunt, vt nullis aliis, imò vt nec ipſis, de quibus primariò affirmantur. Hoc ſic oſtendimus. Reges ad ſummam poteſtatem inter homines effecti cenſentur, quòd multis gentibus & ciuitatibus imperēt, quòd exercitibus ſtipati ſint, quòd diuitiis abundēt, quodq́ quidquid præclari honoris eſt, id ad

retrahant. Cæterum nihil horum eſt, quod Apoſtolis non etiam competat; magisq́ quàm Regibus, & quidem infinito interuallo. Imperãt namque & lubẽtibus quidem, quotquot per totum terrarum orbem ſol aſpicit. Ait enim: *Conſtitues eos principes ſuper omnẽ terrã.* Totq́ ſunt eorum exercitus, quot Chriſti: quorum diuitiæ ipſe etiam Chriſtus, quem omnibꝰ, quæ poſsidebant, emerunt; & illi, qui quotidie per illos ſalutem conſequebantur, vel cõſecuturi erant. Honoribus verò, etiã ſecluſo throno ſecluſaq́ cum Domino ꝑmiſſa ſeſsione, quis pluribus & maioribꝰ cumulatus fuit.

Poſt Reges ſequuntur belli Duces, & quotquot illuſtria pręfectorum militarium nomina & munia gerunt; bellorum adminiſtratio, inquam, exercituum catalogi & ordines; varia pugnarum

τὸ κρεῖττον τιμὰς εἰς ἑαυτοὺς ἕλκουσιν. ἀλλὰ καὶ τοῖς ἀποστόλοις, οὐδὲν ὅτι μὴ τούτων· καὶ περὶ πάντας βασιλέας· καὶ ἀπείρῳ τῷ μέσῳ διαρκεῖν μᾶλλον ἔχοντα. ἄρχουσί τε γὰρ ἑκουσίου πάσης ὅσην ἥλιος ἐφορᾷ· καταστήσεις γάρ φησιν αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. καὶ στρατόπεδα τούτοις ὅσα δὴ καὶ Χριστοῦ. καὶ πλοῦτος αὐτὸς ὁ Χριστός. ὃν πάντων ὧν εἶχον ἐπρίαντο καὶ οἱ δι' αὐτῶν καθεκάστην σωζόμενοί τε καὶ σωθησόμενοι. τιμαὶ δὲ χωρὶς τῶν παρ' ἡμῶν; τῷ τῶν θρόνων ἀναμνησθέντι καὶ τῆς ἐπηγγελμένης ἅμα τῷ δεσπότῃ καθέδρας, τίνι πλείους δόξουσιν ἢ μείζους προσεῖναι;

Στρατηγοὶ μετὰ τούτους. καὶ ὅσα τῶν ἡγεμονικῶν ὀνομάτων τὰ μεγάλα χειρίζουσι πολέμων οἰκονομίας δὴ λέγω καὶ στρατοπέδων καταλόγους τε καὶ συντάξεις. ἔτι τε μάχης ἀγῶνας παντοδαπούς.

διαπεῖς, καὶ πόλεων πολιορκίας τε καὶ ἁλώσεις, καὶ ὅσα περὶ νίκας καὶ τρόπαια καὶ τὴν ἄλλην ἐξετάζεται λείαν. οὐκοῦν, οὐδεὶς τῶν ἀποστόλων παρόντων στρατηγίαν κομπάσοι. οὐ γὰρ περὶ μικρῶν οὐδὲ πρὸς ὀλίγους, ἢ μετ' ὀλίγων, ἢ ἐπ' ὀλίγον αὐτοῖς ὁ πόλεμος, ἀλλὰ περὶ βασιλείας ἀθανάτου τῶν οὐρανῶν. καὶ πρὸς πάσας τὰς τοῦ σκότους ἀρχάς. καὶ μεθ' ὅσων ὁ κόσμος ἀνθρώπων φέρει. καὶ ἐφ' ὅσον ἂν προχωροίη τὰ τῆς γενέσεως· οὐ γὰρ ἄδηλον, ὅτι καὶ νῦν στρατηγοῦσιν.

certamina, vrbium obſidiones & occupationes, & ea quæ ad victorias, ad trophæa, & ad cæteram prædam pertinent. At enim præſentibus Apoſtolis nemo de re bellica facilè ſe iactauerit: nō enim fuit illis bellum de rebus exiguis: neq; contra paucos, neq; cum paucis, neq; pauco tempore, ſed de immortali cœlorum regno, & aduerſus omnes tenebrarum poteſtates, & tum tot, quot mundus homines progenerat; & quouſq; generatio hominum durat; nō enim obſcurum eſt, eos etiam militare.

Οὐκ ἄτιμον μετὰ τούτους ὁρῶ χρῆμα τὸν στρατιώτην. καὶ γὰρ ἔκτοπον οὗτος θέαμα σὺν ὅπλοις ὁρώμενος, καὶ τοῖς ἐχθροῖς εἰς χεῖρας ἰών. καὶ τοῦτο δὲ τίς οὐκ ἂν δοίη τοῖς ἀποστόλοις; οὐ γὰρ ὅπως τοὺς ἄλλους πρὸς τὸν πνευματικὸν παραθήγοντες πόλεμον, αὐτοί γε ἠμέλουν, ἀλλὰ καὶ καθ' αὐτοὺς παρε-

Poſt hos ſequitur miles, haud ignobile & inhonorum nomē: inſigne enim ſpectaculum eſt videre armatum militem in hoſtes recta tendētem. Et quis hanc laudem Apoſtolis non conceſſerit? non enim alios in bellum acuebant, ipſi verò otiabantur; ſed & ſeipſos hoſtibus obiiciebant. Time-

τάττον-

bant namque, vt ipſimet teſtantur, ne aliis prædicantes, ipſi proprio robore falſi, efficerētur reprobi. Atqui milite illuſtrior eſt, qui facinus omnium præclariſsmū edidit: quē enim quis magis ſuſpiciat iſto, qui phalangem hoſtilem perrumpit, eamq́ in fugā vertit, victoriam obtinet, eamq́ tam vniuerſis, quam familiaribus communicat; accepto munere honorario. Si quis hoc itidem nomine Apoſtolos indigitare volet, is conuenientiſsimum nomen imponet. Eximia enim facta, quæ contra Dæmones patrarunt, & prēmiorum multitudinem, tanquam res notiſsimas, & vt aliis Apoſtolis eadem impertierint, prætermitto commemorare. Huius fortis eſt quoq; Olympionices præmio affectus. Apoſtoli quoque coronam ab omnibus ſuis aduerſariis reportarunt; currebant enim, non vt in incertum. Pu-

πάτλοντο. ἐδεδοίκεσαν γὰρ, ὡς αὐτῶν ἐστι λεγόντων ἀκούειν, μήπως ἄλλοις κηρύξαντες, αὐτοὶ τῷ δι' ἐκείνους θάῤῥει ψευδωθέντες ἀδόκιμοι γένωνται. καὶ μὴν καὶ ἀριστεὺς στρατιώτου περιφανέστερος. τί γὰρ τούτου μᾶλλον ἄν τις ἀγάσαιτο; φάλαγγα τῶν ἐναντίων ῥηγνύντος· καὶ τροπὴν αὐτῶν ποιουμένου. καὶ νικῶντος, τοῖς ὅλοις, καὶ οἰκείοις αὐτὸ τοῦτο διδόντος. καὶ γέρας λαμβάνοντος. εἰ δὲ καὶ τοῦτο τοὔνομα ἀποστόλων καλέσειέ τις ἀληθέστατα πάντων κεκληκὼς ἔσται. τάς γε μὴν ἀριστείας ἃς κατὰ δαιμόνων ἠρίστευσαν. καὶ τῶν ἐπάθλων τὸ πλῆθος. ὅτι περ ἐκδηλότατα, καὶ ἄλλοις ὡς αὖ τοῖς ἀποστόλοις χαρίζοιντο, παρίημι καταλέγειν. ταύτης τῆς μοίρας καὶ ὀλυμπιονίκης ἄθλῳ τιμώμενος. καὶ οἱ ἀπόστολοι κατὰ πάντων ἀνταγωνιστῶν στεφανούμενοι.

ἔτρε-

ἔτρεχον γὰρ ὡς οὐκ ἀδήλως. ἐπύκτευον ὡς οὐκ ἀέρα διακενῆς παίοντες.

Πρώτους τῶν παρ' αὐτοῖς ἄγουσιν αἱ πολιτεῖαι τοὺς νομοθέτας, οἷα δὴ τὰ πρακτέα καὶ μή, πάντως ὑφηγουμένους. καὶ τίσι τοὺς ἀγαθούς τε καὶ χρησίμους στεφανωτέον. καὶ τοὺς τἀναντία τούτων δὴ κολαστέον. ἀλλὰ κἂν ἐγὼ μὴ λέγω τοῦτο πεφυκέναι τοὺς ἀποστόλους, πάντες οἶδ' ὅτι βοήσετε. καὶ προθήσετε τὰς ἐπιστολάς. καὶ προβαλεῖσθε τοὺς ἐν αὐταῖς νόμους ἢ μᾶλλον ὅλας αὐτὰς νόμους εἶναι διατενεῖσθε. δι' ὧν οὐχὶ τήνδε τὴν πόλιν, ἢ τήνδε καλῶς ἐστιν οἰκεῖσθαι. τὴν δ' οἰκουμένην πᾶσαν ὁμοῦ.

Δικασταῖς οἰκεῖον ἑκάστῳ νέμειν τὰ πρόσφορα. τί δέ; ἀπροσφυεῖς πρός γε τοῦτο τοὺς ἀποστόλους ἥκοντας ἐστὶν ἰδεῖν; πόθεν; καὶ δεῖ. κἂν γὰρ τἆλλα τις αὐτῶν σιγῇ παραδράμῃ, τό γε κρίνειν ἐπὶ

gnabantno n quaſi aërem in caſſum verberantes.

Primas tenent in Rebuſpublicis legiſlatores; quippe qui facienda & fugienda præſcribant, doceantque, quibus laureis boni & vtiles decorandi: & quibus ſuppliciis his contraria factitantes, afficiendi ſint. Si ego affirmem Apoſtolos non fuiſſe tales, omnes, ſatis noui, exclamabitis; & prolatis epiſtolis, leges, quas continent, deprometis, vel potius ipſas integras epiſtolas, nil aliud niſi leges eſſe, contendetis, quibus non hæc vel illa ciuitas, ſed vniuerſus orbis legitimè adminiſtratur & gubernatur.

Familiare eſt iudicibus, vt vnicuiq; id quod conducibile eſt, reddāt. Quid ergo? Nū ad hoc ineptos accedere iudicabimus Apoſtolos? & licet quis alia ſilentio prætereat, attamen quòd ſedentes ſup

thronos iudicaturi ſunt duodecim tribus Iſraël, id ſatis eſt ad eorum, tanquamſapientiſsimorum, iudiciariam poteſtatem declarandam.

θρόνων ταῖς φυλαῖς Ἰσραὴλ ἐξαρκεῖ τὴν δικαστικὴν ἐξουσίαν σοφωτάτων δηλῶσαι.

Si vis quoque legatum, qui diſsidia componat; neceſſe eſt, vt legationi Apoſtolorum præcellentiam inter omnes largieris; quæ Deum hominibus reconciliauit; nam in cœlum aſcendentes, neſcio num in corpore an extra corpus, vt ipſi loquũtur, inde pacem adferebant.

Εἴπω καὶ πρέσβυν τὴν πείθοντα τὰ διάφορα καταθέσθαι; λεγέσθω τοίνυν, καὶ διδότω τὴν ὑπεροχὴν τῆς τῶν ἀποστόλων πρεσβείας συμβαλεῖν. ἣ θεὸν ἀνθρώποις κατήλλαξε. πρὸς γὰρ οὐρανὸν ἀνιόντες, ἀγνοῶ εἴτ' ἐν σώματι εἴτ' ἐκτὸς τοῦ σώματος, κατ' ἐκείνους εἰπεῖν, ἐκεῖθεν κατεκόμιζον τὴν εἰρήνην.

Hæc cum ita ſeſe habeant, cernere licet, etiam ſummum Pontificem inter honoratos numerari, Quibus verò Põtificibus Apoſtoli non ſunt ſubliniores? Quos ſi verum fateri volumus meritò Pontifices Põtificum appellabis, ad eum modum, quo cœlos cœlorum nominamus.

Οὕτω δὴ τούτων τοιούτων, καὶ ἀρχιερεὺς ἀεὶ δήποτε τοῖς ἐντίμοις ἐγγράφεται, οἱ δ' ἀπόστολοι τίνων ἀρχιερέων οὐχ ὑψηλότεροι; εἰ δὲ τὸ ἀληθέστερον σκοπεῖτό τις, καὶ ἀρχιερεῖς ἂν εὐλόγως ἀρχιερέων καλοῖντο. ὥσπερ που καὶ οὐρανοὺς ἀκούομεν οὐρανῶν.

Si Doctorem quoq; in medium producere ve-

Εἰ δὲ καὶ διδάσκαλον εἰς μέσον παράγειν βούλει, καὶ

τοῦτο

τοῦτο σαφέστατον τῶν ἀποστόλων ἐστὶ γνώρισμα. οὐ γὰρ ἔμελλον τῷ μεγάλῳ διδασκάλῳ φοιτήσαντες, αὐτοὶ μὴ διδάσκαλοι χρηματίσειν. καὶ τούτοις μέσοις ἡμεῖς διδάσκαλον ἔχομεν τὸν σωτῆρα καλεῖν. ὡς ἀμήχανον ὂν εἰπεῖν ἢ ἀναμνησθῆναί γε τοῦτον ὁ ποῖα διδάσκαλον, ἂν μὴ καὶ τοὺς ἀποστόλους συνεπινοῶμεν εὐθύς. ὥσπερ τοῖς ἀπὸ φρέατος πίνουσιν, οὐκ ἄνευ ἀγγείου μέσου, τοῦ ὕδατος πίνειν ἐστίν.

Τὸ δὲ δὴ καὶ ῥήτορας αὐτοὺς καὶ ποιμένας καλῶς ἔχειν λέγεσθαι. τί ἂν εἴπον τις; ἢ πάντα πρὸς ἡμετέραν σωτηρίαν αὐτοὺς μετιέναι. τοῦτο μὲν τἀγαθὰ πείθοντας, καὶ τῶν φαύλων ἀπείργοντας. τοῦτο δὲ τρέφοντας καὶ πιαίνοντας, καὶ φυλάττοντας λόγοις. οἷς ψυχὴ τρέφεται. ἔτι τοίνυν οὐδὲν ἄτοπόν μοι δοκεῖ, μᾶλλον μὲν οὖν καὶ δίκαιον, τοῦτ' ἐγὼ λέγω. κἂν τῶν ἐν κόσμῳ καλλίστων με-

lis; inuenies & hoc in Apoſtolis apertiſsimum inſigne: non enim in magni illius doctoris Chriſti diſciplina inſtituti fuiſſent, niſi & ipſi Doctores futuri fuiſſent; & his mediis poſſumus nos Chriſtum vocare Doctorē, vt proinde impoſsibile ſit Chriſtum & Doctorē vel nominare, vel animo efformare, niſi ſimul & Apoſtolos concipiamus, quēadmodum qui ex puteo bibit, ille non niſi interueniente vaſe bibit.

Quin & oratores & paſtores rectè illos nuncupabimus; quādoquidem omnia ſalutis noſtrę procurandæ gratia egerunt, partim ad honeſta excitando, partim ab inhoneſtis cohibendo; partim verò alendo, pingue faciendo & conſeruando cohortationibus, quibus anima nutritur. Iam verò id, quod mihi non modò nō abſurdum, ſed potius iuſtum videtur, depro-

mam : videlicet ex pulcherrimis mundi partibꝰ Apoſtolis corollas necti,& tanquam primitia offerri debere, conuenienter legibus exornationum. Non enim quia inanimata ſunt, ideo contemnenda ſunt, ſed quia ſine illis nihil naſci vel ſupereſſe poteſt, & quod maius eſt, quia Dei creatoris & laudatoris opera ſunt, iure in admiratione habentur.

ρῶν, ὥσπερ ἀπαρχὰς ἀναθεῖναι τοῖς ἀποστόλοις φέροντα. λέγω δὲ τούτους ἐκείνοις, ὅσπερ ἐπαίνων νόμος εἰκάζοντα τοὺς ἐπαίνους συνείρειν. οὐ γὰρ ὅτι τε ἄψυχα, τοῦδε χάριν παρόπτεα. ἀλλ' ὅτι τούτων ἐκτὸς οὐχ οἷόν τε διαγίνεσθαι. καὶ τὸ μεῖζον, ὅτι θεοῦ τετύχηκε ποιητοῦ τε ἐπαινέτου, εἰκότως δὴ θαυμάζεσθαι.

Principio occurrit cœlum pulcherrimũ & maximum omnium corporum, ſideribus ceu floribús depictum, motu ſuo dies & noctes efficiens. Si quis Apoſtolos quoque cœlos & cœlos gloriam Dei enarrãtes vocet, hunc ego non procul à Dauidica cithara abluſiſſe dicam. Nonne & ipſi maximi ſunt omnium, qui vel ſub lege, vel ante legem, vel nunc tempore gratię, pietatis & virtutis nomine celebrati ſunt? Nonne & virtutibus & multitu-

Οὐρανὸς δὴ πρῶτον καλλιστός τε ὁμοῦ καὶ μέγιστος σωμάτων ἁπάντων. ἄστρασιν ὡς ἄνθεσι καταγεγραμμένος. ἡμέρας τε καὶ νύκτας τῷ κινεῖσθαι ποιῶν. ὃς δὲ καὶ τοὺς ἀποστόλους οὐρανοὺς λέγει, καὶ οὐρανοὺς δόξαν διηγουμένους θεοῦ, τοῦτον οὐ πόρρω τῆς Δαυιδικῆς ἐγὼ τίθεμαι χάριτος. ἦ γὰρ οὐχί, καὶ οὗτοι μέγιστοι πάντων τῶν, ἐν νόμῳ τε καὶ πρὸ νόμου καὶ κατὰ τὴν χάριν ἐπ' εὐσεβείᾳ κηρυχθέντων καὶ ἀρετῇ; οὐχὶ ταῖς ἀρεταῖς καὶ τῷ πλήθει τῶν χαρισμάτων,

μάτων, καὶ οὐρανοῦ φαιδρότεροί τε καὶ ἐκπρεπέστεροι; οὐχὶ τοῦτο καὶ πλέον ἔχουσιν οὐρανοῦ, τὸ μόνον ἡμέραν εἰδέναι ποιεῖν;

Ἀλλὰ τῷ γε μνησθέντι τοῦ οὐρανοῦ, καὶ ἥλιος εἰς νοῦν εὐθὺς ἥκει. καὶ γὰρ καὶ τῷ Δαυὶδ πολλαχοῦ καὶ δέδοται τὸν ἥλιον οὐρανοῦ καὶ ἡμέρας ὀφθαλμὸν λέγειν; κάλλιστον τῶν ἐν κόσμῳ μερῶν. καὶ ζωογόνον καὶ φυτικόμον. ἐντεύξῃ δὲ καὶ τοῖς ἀποστόλοις, εἰ μὴ παῤῥουδέν σοι ταῦτα σκοπεῖν. ἡλίοις ἄλλοις καλλίστοις, ἀπ' ἀνατολῶν ἐπὶ ἑσπέραν δραμοῦσι, καὶ τὸν δρόμον ἐκεῖ στήσασι. τοῦτο τοῦ κατὰ τὸν οὐρανὸν κἀνταῦθα πλεονεκτοῦσιν, ὅτι μηδὲ δύντες ἔδυσαν· ἀλλ' ὡς πρὶν δῦναι, καὶ μετὰ τοῦτο φωτίζουσι.

Δεδόσθω καὶ νεφέλας τούτους εἰπεῖν. ὑετὸν γοῦν πρώϊμόν τε καὶ ὄψιμον οὖσιν. ἅ τε τῷ βίῳ παρόντες ἐδίδαξαν, καὶ ἃ νῦν τε καὶ μέχρι παντὸς ἐξ ὧν τι γίνεται; βλαστά-

dine cœleſtium donorũ cœlo ſplendidiores & nitidiores exſiſtunt? Nonne hoc præ cœlo habent; quòd ſolum diem efficiunt?

Verùm, qui cœli mentionem facit, ei ſtatim ſol in mentem venit; quem Dauid ſæpius cœli & diei oculũ appellat; pulcherrima certe vniuerſitatis huius pars eſt, animalibus & plãtis procreandis deſtinata. Hic quoque, ſi attẽdere velis, videbis pulcherrimos ſoles Apoſtolos, ab oriente in occaſum currẽtes, & illic curſum ſiſtentes: qui in hoc etiam cœlo præſtãt; quòd neq; poſt occaſum occubuerunt; ſed vt ante occaſum, ſic & poſt, lucent ac illuminant.

Concedamus Apoſtolos nubes quoque appellari. Pluuiam igitur matutinam & ſerotinã ſuppeditant; nempe ea, quæ in hac vita, & nunc itidem indeſinenter docuerunt

& docet: Ex quibus quid naſcitur? Germinat in nobis cum rectis, dogmatibus virtus, rigatáq; incrementum capit. Ita cum omnia, quæ in pretio & honore ſunt, de Apoſtolis dixeris; ipſi iure ſuo maiora ſemper nomina & encomia exigunt, vt neceſſe ſit omnia prædicta ruere. Quid igitur? Num cœlũ tranſcendere oportebit? Ibi enim maiora & meliora inueniuntur nomina, quàm apud nos. Appellẽtur ergo Angeli & Archangeli: & ordine vſq; ad primos aſcẽdamus; & quod omnis celſitudinis ſupremum eſt; Dij vocentur. quod omnium vltimum vocabulum, infinitis autem partibus omnium maximum. Nunc ſcio honoratos laudatoſque eſſe Apoſtolos; & in hac appellatione acquieſco: quia ſufficit; nec eſt quod celſiorem quæramus. Sic in ſingulis admirabiles ſunt Apoſtoli; in omnibus autẽ ſimul pluſquã admirabiles.

νει σὺν τοῖς ὀρθοῖς δόγμασιν ἡ ἐν ἡμῖν ἀρετή. καὶ ἀρδευομένη ἐπίδοσιν δέχεται. οὕτω πᾶν ὅτι τίμιον λεγόμενοι οἱ ἀπόστολοι, ἐπιμειζόνων καὶ καλλιόνων ἐφίστανται πράκτορες ὀνομάτων. ἅ τε τῶν εἰρημένων ἀπάντων εἴσω πιπτόντων. τί οὖν; ὑπερβῆναι δεήσει τὸν οὐρανόν; ἐκεῖ γὰρ τὰ μείζω καὶ κρείττω τῶν ἐνταῦθα ὀνόματα. λεγέσθωσαν τοίνυν, καὶ ἄγγελοι καὶ ἀρχάγγελοι καὶ μέχρι τῶν πρώτων ἐφεξῆς ἀνιόντες καὶ τέλος ὃ τῆς ἀκρότητος πάντων, θεοί. πάντων μὲν ὑστάτῳ. μεγίστῳ δὲ πάντων ἀπείρῳ τῷ μέσῳ. νῦν οἶδα τιμηθέντας τοὺς ἀποστόλους. καὶ ἐπαναπαύομαι τῷ προσρήματι. ἀποχρῶσα δὲ κἀκείνοις ἡ κλῆσις καὶ οὐκ ἔστιν ἣ προσθέξουσι μείζονι. οὕτω τοῖς καθέκαστον οἱ ἀπόστολοι θαυμαστοί. ἅμα δὲ πᾶσι καὶ ὑπερθαύμαστοι.

Ἐδόκει

Ἐδόκει μοι πέρας ἐπιθεῖναι τῷ λόγῳ. οὐ μὴν οὕτως ἀτόπως ἔχω, ὥστε μὴ καὶ ἐκ τῆς Πέτρου ἁλείας οἷον ἐπίδειπνόν ἥδυσμά τι παραθεῖναι. τοῖς καὶ ὅτι οὖν τῶν ἐκείνου περιττῶς ποιουμένοις τρυφᾷν. καὶ δεῦρ' ἴτε δή μοι παρὰ τὴν λίμνην Τιβεριάδος. καὶ ὁρᾶτε Πέτρον σὺν ἑτέροις τῶν μαθητῶν διανυκτερεύσαντα μὲν τῇ παλαιᾷ τέχνῃ μηδὲν δὲ πλέον εἰς πρωΐαν αὐτῷ γεγονός· τηνικαῦτα δὲ καὶ τὸν Ἰησοῦν μετὰ τὴν ἀνάστασιν, ἐπὶ τοῦ χείλους τῆς λίμνης ἱστάμενον. καὶ μηδενὸς εἰδότος ὅσπερ ποτὲ ὁ φαινόμενος, εἴ τι προσόψον ἔχοιεν ἐρωτῶντα. κἀκείνων μηδὲν ἔχειν φαμένων αὖθις εἰς τὰ δεξιὰ τοῦ πλοίου χαλᾶν τὸ δίκτυον ἐπισκήπτοντα, ἦ μὴν εὑρήσειν ἐκεῖ τι χρηστὰς ὑποτείνοντα τὰς ἐλπίδας. καὶ τοὺς μαθητὰς εἰς ἔργον ἀγαγόντας τὸν λόγον, τοσούτους συλλαβεῖν τῶν ἰχθύων, ὡς

Volebam orationi finem imponere. Cęterum non adeo abſonus ſum, vt ex piſcatione Petri nihil bellariorũ apponam illis, qui alioqui ea, quæ Petrum concernunt, in deliciis habere conſueuerunt. Adeſte mecum ad mare Tiberiadis & videte Petrum cum cęteris diſcipulis tota nocte, in veteri ſuo artificio occupatum ſine vllo vſq; ad matutinũ tempus profectu. Videte etiam Ieſum poſt reſurrectionem tunc in littore maris ſtantem; & nemine ſciente, quis nam eſſet, interrogantem; nam quod pulmentarium haberent; illisq́ue reſpondentibus, nullum ſe habere, in dexteram nauigij partem retia laxare iubentē; & aliquid ibi repertum iri bonas ſpes ſuggerentem; & Apoſtolos iuſſa capeſſentes, tot piſces cepiſſe, vt rete nullo modo amplius ad nauigium trahere potuerint, ſed ſub aqua ad terram deduxerint;

Petrumque, cum intellexiſſet Dominum tãti miraculi auctorem eſſe, ſtatim, vt erat, tunica ſuccinctum, in aquam ſe demiſiſſe, & natando ad Magiſtrum perueniſſe. deinde rete ad terram traxiſſe, rete plenum piſcibus, & quidem magnis, adde, ſi voles, etiam plurimis, vtpote cẽtum quinquaginta tribus. An non miraculi huius gratia ad ſatietatem vſque vos oblectare poteſt? Ego verò animaduerto quoſdam dictitãtes: quàm beati, quibus piſcibus illis frui cõceſſum eſt. Mirarer, niſi & vos beatos cenſeretis, qui Christo & Petro conuiuatoribus, miraculi huius conuiuæ facti eſtis. In vos piſcium miraculo ſatiatos nequaquam conijcietur, quod & aliis nonnullis exprobratum eſt.

μηκέτι μηδαμῶς αὐτοῖς εἶναι πρὸς τὸ πλεῖον ἀνελκύσαι τὸ δίκτυον. ἀλλ᾽ ὑπὸ τὸ ὕδωρ σύροντας κατάγειν ἐπὶ τὴν γῆν. καὶ Πέτρον μαθόντα τὸν διδάσκαλον εἶναι τὸν ἐργάτην τοῦ θαύματος εὐθὺς ὡς εἶχε, τὸν ἐπενδύτην περιζωσάμενον, καὶ πρὸς τὸ ὕδωρ ἑαυτὸν καθήκοντα, καὶ διανηχόμενον ἔξω πρὸς τὸν διδάσκαλον εἶτα καὶ τὸ δίκτυον ἐπὶ γῆς ἑλκοντα. καὶ τὸ δίκτυον πλῆρες ἰχθύων. καὶ οἱ ἰχθύες μεγάλοι. οἷοι δ᾽ εἰ βούλει, προσθες καὶ πλεῖστοι. τρεῖς γὰρ ἐπὶ πεντήκοντα πρὸς τοῖς ἑκατόν. Ἆρ᾽ οὐχ ἱκανὴ τοῦ θαύματος ἡ χάρις ὑμᾶς εἰς κόρον ἡδῦναι; ἐγὼ δ᾽ ἤδη τινῶν λεγόντων αἰσθάνομαι, ὡς μακάριοι οἱ τῶν ἰχθύων ἀπολελαυκότες ἐκείνων. θαυμάσαιμι δ᾽ ἄν, εἰ μὴ καὶ ὑμᾶς αὐτοὺς μακαρίους νομίζετε, ὑπὸ Χριστῷ καὶ Πέτρῳ τοῖς ἑστιάτορσι, δαιτυμόνας γινομένους τοῦ θαύματος. τάχα γὰρ οὐκ ἂν πρὸς ὑμᾶς ἐκεῖνό γε ῥηθείη, πόρρω τῶν ἰχθύων ἐμφορουμένους τοῦ θαύματος. ὃ καὶ ἄλλοις

τισὶν

πισὶν ὠνειδίσθη. ζητεῖτέ με ἀκούουσιν, οὐχ ὅτι σημεῖα εἴδετε. ἀλλ᾽ ὅτι μου τῶν ἄρτων ἐφάγετε.

Ἀλλ᾽ ὢ φωνῆς ἐκείνης ᾗ καὶ ἰχθύες ὑπήκουσαν. ὡς πρὶν καὶ θαλάσσης ὕδωρ καὶ ἄνεμοι. ὢ μαθητοῦ πρὸ πάντων ὁμολογοῦντος τὸ θαῦμα. τῷ πρώτως ἐκπηδῆσαι πρὸς τὸν διδάσκαλον. ὢ μαθητοῦ κατατολμᾶν καὶ κυμάτων ἤδη γεγονότος ἐν ἔθει, παρόντα τὸν διδάσκαλον βλέποντος. ὢ μαθητοῦ θερμοῦ τὸν ζῆλον. πολλοῦ τὸ φίλτρον ἀσχέτου τὸν ἔρωτα καὶ μόνον τὸν διδάσκαλον πνέοντος. τί μὲν τῶν ἀγαθῶν οὐ δίδωσιν ἡμῖν ἐννοεῖν οὗτος περὶ αὐτοῦ; τί δὲ οὐ λέγειν; ἆρ᾽ οὐ πρὸς οὐρανὸν ἀνανήχεσθαι τηνικαῦτα ἐδόκει πρὸς τὸν διδάσκαλον ἐκνηχόμενος;

Καὶ παρεῖταί μοι τῶν ἰχθύων τὸ πλῆθος κατ᾽ ἀριθμῶν δύναμιν ἐξετάζειν ὡς οὐ μοναδικῶς δὴ μόνον καὶ δεκαδικῶς, ἀλλὰ καὶ καθ᾽ ἑκα-

Quæritis me audire, non quia ſigna vidiſtis, ſed quia panes meos comediſtis.

O vocem, cui etiam piſces obtemperarunt, vt antea mare & venti: ô diſcipulum, qui ante omnes miraculum profitetur, quia primus exſilit ad magiſtrū. O diſcipulum qui etiam contra vndas aliquid auſus eſt, cū præſentem cerneret Magiſtrum. O zelum feruentis diſcipuli, dilectionę incenſi, amore indomiti ſolumq́ magiſtrum ſpirantis. Quid præclari de ſe cogitandi & loquendi iſte non ſubminiſtrat? An non ad cœlum tunc natare videbatur, quando enatabat ad Magiſtrum?

At permittite mihi, vt piſcium multitudinē ad numerorū virtutem excutiam, quia non ſolum per vnitates & decades, ſed & per centuriam de-

currit;& tribus quadrangulis, vt Arithmeticus quippiam dixerit, conſtat;Quod ſi cui contemplari iucundum eſt,à quibus tria iſta quadrangula progenerentur;huius ſtatim primum numerum parem & vndequaq; abſolutum inueniet; illius verò, eum, quem virginem appellant. Tertij denique, numerum perfectum,vltra quem ſine reflexione progredi non licet. Quæ omnia Petri piſcationem perfectiſsimã fuiſſe indicant, eiusq; in omnibus prærogatiuam & maieſtatem, quantum coniectare fas eſt, declarant. Et ſi his ſubeſt quędam ratio, prout reuera ſubeſt, neq; enim temerè quidquam horum vel actum vel ſcriptum eſt, oratio tamen ad illam accurationem, quam propoſitam habet, pertingere nequit. Voluiſſe autẽ cũ, qui hæc literis prodidit & multitudini & ma-

τοντάδα συγκεκρυμμένος δείκνυται. καὶ ὡς τρισὶ δὴ τετραγώνοις, ἀριθμητικὸς ἄν τις εἴποι, συντέθειται. ὧν εἴ τινι σπουδὴ γνῶντας αὐτοὺς ἀνασκοπεῖν ἦν, οὗ μὲν ὁ πρῶτος εὐθὺς ἄρτιος ἂν ἀνεφάνη. τοῦ δ᾽ ὃν παρθένον ὠνόμασαν. τοῦ δ᾽ ἐπ᾽ αὐτοῖς τρίτου ὁ τέλειος καὶ μεθ᾽ ὃν οὐκ ἔστι προβαίνειν μὴ ἀνακάμπτοντα. ἃ δὴ πάντα τὴν τελεωτάτην ἁλείαν ἀποφαίνει τοῦ Πέτρου. καὶ τὸ ταύτης ἐν πᾶσι πρεσβεῖον. καὶ τὴν σὺν τούτῳ σεμνότητα, ὅσα γε καὶ συμβάλλειν τινά. ταῦτα γὰρ εἰ καὶ πρός τινα φέρει λόγον, καὶ γὰρ οὖν φέρει, ὅτι μηδ᾽ ἐκ τοῦ παρέργου τι οἶμαι πεπρᾶχθαι τε καὶ γεγράφθαι, ἀλλ᾽ οὖν οὐχ ὥς τε καὶ τῆς γινομένης ἀκριβείας, πρὸς ἣν ὁ λόγος βούλεται χειραγωγεῖν, ἐφικνεῖσθαι. τῷ δὲ δὴ καὶ προσμαρτυρῆσαι τῷ πλήθει καὶ μεγέθει τῆς ἄγρας μηδὲ μέχρι τοῦ καὶ τὸν ἀκριβέστατον ἀριθ-

ἀριθμὸν περιθεῖναι τοῦ λόγου φείσασθαι, δῆλός ἐστιν ὁ τὰ ἱερὰ γράφων τὴν οὐχ ὅσην ἂν εἴποι τις ἔσεσθαι μέλλουσαν ὑπὸ Πέτρου τῶν ἀνθρώπων ἁλιείαν καὶ σωτηρίαν ἐκφανέστατα παριστῶν. καὶ γὰρ εὔλογον ἐδόκει πως, ἃ τοῖς ἔργοις θαυμαστόν δή τινα τρόπον ἐπράχθη, τούτων εἰς μέσον περιτεθέναι τοῦ λόγους. καὶ ἃ τῶν μεγίστων ἦν σύμβολα, μηδοτιοῦν τῶν ἐν αὐτοῖς παραλείποντα λέγειν. Τοιοῦτός σοι Παῦλε ὁ συναπόστολος. τοιοῦτός σοι Πέτρε ὁ Παῦλος. οἵους ὁ λόγος δεῖξαι, προτεθύμηται μέν· ἥκιστα δ᾽ ἐφικόμενος, οὐδὲν ἧττον καὶ οὕτως ἔδειξε. τοιοῦτοι ὑμεῖς. τοσοῦτον ἑκάτερος ἐν τῇ ἐκκλησίᾳ τοῦ χριστοῦ ἔχοντες, ὅσον ἡ σελήνη ἐν ἄστρασιν. οἶμαι γὰρ μηδένα νοῦν ἔχοντα, μὴ θαυμάσαι τούτων τὸ φρόνημα, τὴν πολι-

gnitudini capturæ teſtimonium dare, inde apparet, quod numerum perfectiſsimum adhibuit. Quo ſanè immenſam illam Petri piſcaturã, quã homines piſcaturus erat, & ſalutem partam luculẽtiſsime nobis exhibuit. Conſentaneum enim rationi videbatur, vt quæ mirabili aliquo modo effecta ſunt, illa literis mandarentur, & eorum, quæ maximarum rerum erãt ſymbola, nihil prętermitteretur. Talis tibi, ô Paule, Coapoſtolus obtigit: Talis tibi, Petre, Paulus, quales oratio demõſtrare quidem conata, ſed nequaquam aſſecuta eſt; tametſi nihilominꝰ ſic quoque aliquid demonſtrauit. Tales vos; & tantum vterque in Eccleſia Chriſti obtinet, quantum luna inter ſidera. Arbitror enim nullum mẽtis compotem eſſe, qui eorum animi magnitudinẽ, conuerſationem & opera non admiretur: magnitudinem

τείαν

quidem animi, qualem alibi nō inuenias; conuerſationē Angelis ſimilem opera, quæ nulli cedant, multóque minus primas concedant.

Cum enim probè noſſent, ſibi omnium præfecturam conceſſam eſſe, ſtudioſè enitebantur, vt omnes alios labore vincerent. Scit enim etiam Dux belli ſibi plus laborandum eſſe, quàm cuiuis gregariorum militū. Igitur & laborat. Scit quoq; gubernator nauis plus ſibi vigilandum eſſe, quàm vectoribus & nautis. Vigilat ergo. Verè cœlum prius plantas progenerabit, & ſtellis terra inſignietur, quàm ego affirmem, Apoſtolos iſtos in omnibus & ſuper omnes non eminere: nam licet tempore non anteuerterint omnes, tamen & ſecundis non mediocria capeſſenda proponuntur; & iſti omnia prę̨clarè facta in ſe complexi, omnibus, quā

τεῖαν, τὸ ἔργον. τὸ μὲν γὰρ, οἷον οὐκ ἄλλο. ἡ δὲ ἀγγέλοις ἐφάμιλλος. τὸ δὲ οὐδενὶ τῶν πρωτείων παραχωροῦν.

Καὶ γάρ τοι συνειδότες ἑαυτοῖς τὴν προστασίαν πάντων ἀνηρτημένοις, καὶ ὑπὲρ ἅπαντας τοῖς πόνοις ἐντρυφᾶν ἐφιλοτιμοῦντο. οἶδε μὲν γὰρ καὶ στρατηγὸς ὡς πλειόνων αὐτῷ δεῖ πόνων, ἢ τῶν ὑποτεταγμένων ἑκάστοις. οὐκοῦν καὶ πονεῖ. οἶδε δὲ καὶ κυβερνήτης μᾶλλον αὐτῷ προσῆκον τῶν ἐπιβατῶν καὶ ναυτῶν ἀγρυπνεῖν. οὐκοῦν καὶ ἐγρήγορεν. ὄντως πρόσθεν οὐρανὸς φύσει βοτάνας. καὶ ἀστέρες γῆν διαγράψουσιν, ἢ τοὺς ἀποστόλους ἔγωγε, φαίην ἂν, μὴ πάντα πάντων προέχειν. εἰ γὰρ μὴ καὶ τῷ χρόνῳ πάντας προέλαβον. ἔστι δ' ὧν οὐ μετρίων καὶ δεύτεροι πρὸς τὸν βίον ἀφίκοντο; ἀλλ' ὁμοῦ πάντα συλλαβόντες ἐν ἑαυτοῖς κατορθώματα, καὶ πάντων ὡς ἔνι μάλιστα ὑπερείδρυνται.

δρωτῃ. καὶ προκάθηνται μὲν προφητῶν. προκάθηνται δὲ τῶν συναποστόλων. τῶν μὲν, ὅτι τὰς ἐκείνων ῥήσεις ἐκύρωσαν καὶ ἅπερ ἐκείνοις ἦν ἐν ἐφέσει, τούτοις ἐν ἀπολαύσει, προέβη. τῶν δὲ ὅτι τε τὸν δεσπότην ἐφίλησαν πλέον πάντων. καὶ ἠγωνίσαντο πλέον πάντων. προκάθηνται δὲ μαρτύρων ὁμοῦ καὶ ὁσίων. πρὸς ἐκείνους γὰρ οὗτοι βλέποντες, οἱ μὲν πρὸς ὁρατοὺς ὁμοῦ καὶ ἀοράτους ἐχθρούς. οἱ δὲ πρὸς μόνους ἀπεδύσαντο τοὺς δευτέρους. προκάθηνται δ' ἱερέων ὅσα καὶ παίδων πατέρες. προκάθηνται πάντων ὁμοῦ πάντα πάντων ὑπερβαλόμενοι. καὶ πᾶσι πάντα τοῖς ἐπικαλουμένοις αὐτοὺς γίνονται. τοῦτο γὰρ αὐτὸ καὶ περιόντες ἔτι παρείχοντο ἑαυτοὺς καὶ πρὸς τοῦτο προθύμους ἴσμεν αὐτοὺς γινομένους. τοὺς χριστοῦ στόματα λέγω γινομένους. τοὺς σκεύη τῆς ἐκλογῆς. τοὺς θε-

maximè fieri poteſt, anteponuntur. præſident Prophetis; præſident & Coapoſtolis; illis, quia eorũ oracula confirmarunt; & quæ illis erant in optatis, horum fructus illis conceſſus eſt: Iſtis, quia plus cæteris Dominum dilexerunt; & plura, quàm cęteri certamina ſubierunt. Præſident inſuper Martyribus aliiſq; Sanctis: ad illos enim reſpicientes q̃dam & cum aſpectabilibus, & cum inaſpectabilib⁹ aduerſariis in arenam deſcenderũt, alij tantum cũ inaſpectabilibus. Præſident Sacerdotibus, vt pater filiis. Pręſident omnib⁹ ſimul omnes in omnibus ſupergreſſi; & omnibus ſe inuocãtibus omnia facti, & hoc ipſum, cũ adhuc in terra ſuperſtites eſſent, promptè omnibus præſtabant, & alacres ſe, vt ſingulis gratificarẽtur, exhibebant. Illi ſcilicet, qui os Chriſti erant, vaſa electionis, fundamenta Eccleſiæ, quæſtores cœlo-

μελίους,

rum, Saluatoris pediſſequi,& imitatores. Et poſt illum, orbis terrarũ ſeruatores. Hæc ſunt & plura, nec minora his ſuperſunt; Apoſtolorum præconia; quos quis fidenter ſibi adſciſcat, tãquam inuictos ꝓpugnatores, propugnacula inexpugnabilia, cuſtodes vigilantes, conſolatores in aduerſis; in periculis liberatores, in morbis medicos, comites ſi quis iter faciat. Gubernatores, ſi quis nauiget, quos quis viuens curatores; & mortuus adiutores habet.

μελίους τῆς ἐκκλησίας. τοὺς ταμίας τῶν οὐρανῶν. τοὺς τοῦ σωτῆρος ἀκολούθους καὶ μιμητάς. τοὺς μετ' ἐκεῖνον τῆς οἰκουμένης σωτῆρας. ταῦτα καὶ τούτων ἔτι πλείω τε καὶ οὐχ ἥττω. οἷς ἄν τις θαῤῥῶν χρήσαιτο. ἀηττήτοις προμάχοις. ἀῤῥαγέσι προβόλοις. ἀγρύπνοις φύλαξι. παρηγόροις ἐν λύπαις. ἐν κινδύνοις ῥύσταις. ἰατροῖς ἐν νόσοις. συνοδεύουσιν εἰ ὁδεύοι. κυβερνήταις, εἰ πλέοι. ζῶν κηδεμόσι. καὶ θανὼν ἀντιλήπτορσιν.

Quorum ductu & auxilio mihi iam quoq; oratio ad finẽ, velut ad portum, prouehitur. Omnia igitur & per omnia Apoſtolis admodum probè peracta ſunt. Quid enim? Ad Chriſtum oportebat accedere? Acceſſerunt. Vbique prædicare? Prædicarũt. In omnibus bonum certamen certare? certarũt. Similem finem

Ὧν τῇ προστασίᾳ καὶ βοηθείᾳ ἤδη κἀμοὶ πρὸς τέλος ὁ λόγος, ὡς εἰς λιμένα καταίρει. πάντα μὲν οὖν διὰ πάντων, εὖ μάλα τοῖς ἀποστόλοις εἴργασται καὶ τετέλεσται. τί γάρ; ἔδει τῷ χριστῷ προσελθεῖν; προσῆλθον. πανταχοῦ κηρύξαι; ἐκήρυξαν. πάντα καλῶς ἀγωνίσασθαι, ἠγωνίσαντο. ἐφάμιλλον τὸ πέρας τῆς πράξεων ἐπιθεῖ-

ἐπιθεῖναι; ἐπέθηκαν. θάνα-
τος γὰρ ὑπὲρ χριστοῦ βίαιος
παρέπεμψε πρὸς χριστὸν τὸ ὁ
τοῦτο κελεύων, νέρων ὃς ἐκ-
φανέστατα ἀνθρώπων ἔδει-
ξεν, ἢ μόνος ἢ μάλιστα, ὅσα
καὶ ἡλίκα ποιεῖν ἀρχὴ κα-
κὰ δύναται, κακοῦ τυχοῦσα
τοῦ ἐφεστῶτος. νῦν δὲ τῷ
χριστῷ συνόντες ἐν οὐρανοῖς,
ᾧ καὶ ἐπὶ γῆς συνῆσαν ἀχώ-
ριστοι, ἀπέραντα χαίρουσιν.

actionib⁹ imponere? Impoſuerunt. Violenta enim pro Chriſto ſuſcepta mors, ad Chriſtum illos tranſmiſit. Cuius mortis auctor Nero, qui vel ſolus vel præcipuè luculenter oſtendit, quanta & qualia facinora imperium patrare poſsit, ſi malũ præſidem nanciſcatur. Nunc autẽ cum Chriſto in cœlis degentes, cui etiam in terris inſeparabiliter adhæſerant; ſine fine exultant.

Ἐμοὶ δὲ δοκεῖ καὶ ὡς ἐν κε-
φαλαίῳ τῶν λόγων προσει-
πόντα τοὺς ἀποστόλους καὶ
ἐπευξάμενον, αὐτίκα δοῦναι
τῷ λόγῳ στῆναι. χαίρετε οὖν
ὦ μακάριοι χαίρετε χριστοῦ
μαθηταί. χαίρετε τῆς οἰκου-
μένης διδάσκαλοι. καὶ γὰρ
χαίρετε πρὸς οἷς ἀπολαύε-
τε, τὸ ὑμέτερον ποίμνιον ἄ-
νωθεν ἐφορῶντες. εἰς οἷον ἀν-
θ᾽ οἵου πῶς ἀεὶ προσθήκαις
ἐπέδωκεν. εἰ μή τι παραιρεῖ-
ται τῆς ἡδονῆς. τὸ τοὺς ἁπαν-
ταχοῦ γῆς τὸν ἕνα χριστὸν ἐπι-
καλεσαμένους θεὸν δι᾽ ὑμῶν,

Ego verò conſultum cenſeo, vt quia in termino verſamur, Apoſtolos compellem & inuocem, moxq́ curſum ſiſtã. Saluete igitur, ô beati. Saluete Chriſti diſcipuli totius orbis magiſtri. Gaudetis etenim inter gaudia, quibus in cœlo fruimini, quando veſtrum gregem quotidianis incrementis auctum aſpicitis: niſi aliquid de voluptate decerpat; quòd qui vbiq́ terrarum à vobis inſtituti vnum Chriſtum, vt Deum, inuocãt cacodæmo-

nis malitia multifariam diſſecti ſunt. Recta dogmata in dubium reuocantes, doctrinæque à vobis traditæ alij aliter aduerſari tentâtes. Vos quidem omnibus prædicatis: veritas enim vna eſt; At verò malignus pernicioſo ſtrategemate vſus, quos à conculcato iam idolorum cultu auulſos cernebat, eos à cognita veritate, prætextu veritatis indagādæ auellere ſtuduit. Verus impoſtor, & improbitatis inſtrumentum; qui iſta commentus eſt, vt dum homines pro Deo pugnā ineunt, à Deo exciderent; & vt à Deo alienarentur, dum inſtinctu eius pro Deo præter rationem & temerè dimicant. Cæterum vos, ſi qua huius rei cura vos tangit, vt profectò tangit, cohibete & componite diſſidia, Eccleſiamque iterum in vnum congregate. Memineritis ipſa veſtra nomina huc tendere, & huc

τῇ τοῦ πονηροῦ· κακοτεχνίᾳ πολλαχῇ διεσπάσθη. καὶ λόγου τοῦ ὀρθοῦ πάντας πᾶσιν ἀμφισβητεῖν. καὶ ἄλλους ἄλλως τῆς ὑμῶν διδασκαλίας ἀντέχεσθαι βούλεσθαι. ὑμεῖς μὲν γὰρ, ἐν πᾶσι τὸ κήρυγμα διηγγείλατε· τὸ γὰρ ἀληθὲς ἕν. ὁ δὲ πονηρὸς πονηρῷ χρησάμενος στρατηγήματι, οὓς ἀφῃρέθη τῆς εἰδώλων πατηθείσης λαθρείας, ἀνταφαιρεῖν τῆς ἀληθείας ἐμηχανήσατο ὑποθήκῃ δῆθεν τοῦ τῆς ἀληθείας φροντίζειν. σοφιστὴς ὄντως ἐκεῖνος καὶ κακῶν ὄργανον. τοιαῦτα δραματουργήσας ὡς ὑπὲρ θεοῦ τοὺς ἀνθρώπους μάχην ἀνῃρημένους ἐκπίπτειν θεοῦ. καὶ ἵν' ἀλλοτριωθῶσι θεοῦ, θεῷ παρὰ λόγον βοηθεῖν ὑποβάλλων. πλὴν ἀλλ' εἴ τι γε ὑμῖν τοῦδε μέλει, καὶ γὰρ οὖν μέλει, ἤδη ποτὲ λῆξαι τὴν στάσιν. καὶ πάλιν τὴν ἐκκλησίαν εἰς ἓν συναγάγετε. μνήσθητε ὡς τῶν εἰς τοῦτο συντεινόντων ὑμεῖς ἐπώνυμοι. καὶ ὁ μὲν, Παῦ-

παῦλαν τῶν διαφορῶν ὀρεγέτω. ὁ δὲ ἐπὶ πέτραν ἀρραγῆ πάντας ὁμοῦ στηριζέτω τῆς τῶν δογμάτων ὀρθότητος. ἦ που πολλαπλασίους ὑμῖν εἰσόμεθα τηλικαῦτα τὰς χάριτας. ὧν τε τῷ βίῳ περιόντες ὑπὲρ ὑμῶν ἠνέγκεσθε. καὶ ὧν αὖθις ἐπιμελήσεσθε. λάβοιμεν καὶ ἡμεῖς τῆς πρώτης ἐκείνης ἐπιμελείας ὑμῶν πεῖραν. ὡς ἂν ὅπερ ἀκοῇ παρειλήφαμέν τε καὶ πεπιστεύκαμεν, καὶ ὀφθαλμοῖς δὴ ταῦτα δεξώμεθα. ὡς ὑμεῖς τὴν οἰκουμένην ἐσώσατε. χριστὸν ἐν ὑμῖν αὐτοῖς ἔχοντές τε καὶ περιφέροντες. ὃν ἅμα τῷ πατρὶ καὶ τῷ πνεύματι τὸ προσκυνητὸν ἐκηρύξατε. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας, ἀμήν.

vos impellere; Paulus igitur pauſam contentionibus adferat. Petrus verò ſupra immotam petram incorruptæ doctrinæ adductos confirmet. Et ingentes gratias vobis debebimus, partim propter illa, quæ his in terris noſtri cauſſa ſuſtinuiſtis partim ob ea, quæ iterũ procurabitis. capiamus & nos primæ illius veſtræ curæ experimentum; vt quod auditione accepimus & fide credidimus, oculis quoque intueamur, quomodo ſcilicet orbem terrarum ad ſalutem pertraxeritis, Chriſtum in vobis ipſis habentes & circumferentes, quem ſimul cum Patre & Spiritu ſancto adorandum prædicaſtis, nunc & ſemper & in ſæcula, Amen.

F I N I S.

HISTORICVM ENCOMIVM

Alexandri Monachi Hiſtoriographi de Inuentione pretioſæ & viuificæ Crucis.

EO tempore in Æliæ Epiſcopatu celebris Macarius Hermonæ ſucceſſit, Magnus autē Conſtantinus Imperator omnem curam & ſollicitudinem ad res diuinas illuſtrandas conuertit, ædificans Eccleſias, eaſque ex publico ærario pecuniis, impenſis & variis ornamentis ac theſauris locupletans. Ac principio legem tulit, vt idolorum delubra Chriſtianis traderētur. Et vt qui adhuc in Idololatriæ ſcelere hærebant, capitali ſupplicio afficerentur. Alte-

ΙΣΤΟΡΙΚΟΝ ΕΓΚΩΜΙΟΝ

Ἀλεξάνδρου μοναχοῦ ἱστοριογράφου περὶ τῆς εὑρέσεως τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ.

Κατ' ἐκεῖνον τὸν χρόνον ὁ τῆς Αἰλίας ἐπίσκοπος μακάριος ὁ φερώνυμος τὴν ἑρμωνᾶν διαδεξάμενος. ὁ δὲ μέγας Κωνσταντῖνος μονοκράτωρ γενόμενος πᾶσαν τὴν φροντίδα εἰς τὰ θεῖα μετήνεγκεν. ἀνοικοδομῶν τὰς ἐκκλησίας, ἐπὶ φιλοτίμως πλουτῶν ἐκ τοῦ δημοσίου λόγου, ἔν τε χρήμασι καὶ ἀναλώμασι, καὶ παντοίοις κειμηλίοις. Καὶ πρῶτον νόμον ἔγραψεν ἀποδίδοσθαι τοὺς τῶν εἰδώλων ναοὺς τοῖς τῷ Χριστῷ ἀφιερωμένοις καὶ τοὺς ἔτι εἰδωλολατροῦντας, κεφαλικαῖς ἐπιτιμᾶσθαι τιμωρίαις. δεύτε-

δεύτερον νόμον ἔγραψεν. Χριστιανοὺς μόνους ὀρθοδοξοῦντας στρατεύεσθαι ἐθνῶν τε καὶ στρατοπέδων τούτους ἄρχειν. τρίτον νόμον ἔγραψεν. ἀπράκτους εἶναι τὰς πασχαλίας ἑβδομάδας δύο, μίαν πρὸ, καὶ μίαν μετὰ. καὶ ἦν λοιπὸν εἰρήνη βαθεῖα, καὶ χαρὰ ἐν ὅλῃ τῇ οἰκουμένῃ, πάντων τῶν ἐθνῶν ὡσημέραι προστρεχόντων τῇ πίστει, καὶ βαπτιζομένων, καὶ ἰδίαις χερσὶ τοὺς πατρῴους θεοὺς συντριβόντων.

ram legē tulit, vt ex Chriſtianis, ij ſoli qui orthodoxam fidem amplectebantur, militarent, militibusq; cum imperio pręeſſent. Tertiam legē ſanxit, qua iuſsit, vt duæ paſchales hebdomades, altera antè, & altera poſt paſcha feſtiuæ & ab omni opere ſeruili immunes eſſent: & erat de cætero vniuerſum per orbē pax alta, & gaudium omnibus nationibus ad diuinum baptiſma concurrētibus, propriisq; manibus paternos Deos confringentibus.

Ἀλλὰ ταῦτα οὐκ ἦν φορητὰ τῷ ἀλάστορι δαίμονι, ἀλλὰ πάλιν εἰς ἑαυτὸν ἐδραματούργει, πῶς ἂν ἐκκόψῃ τὴν τοσαύτην τῶν ἀνθρώπων χαρμονήν. καὶ πεῖσαι μὲν τοὺς ἀνθρώπους θεοποιεῖσθαι τὴν κτίσιν οὐκέτι οἷός τε ἦν. ἐφωράθη γὰρ ἡ ἀπάτη αὐτοῦ. τὸν δὲ κτίστην συντάξαι τοῖς κτίσμασι παραπεῖσαι ἐπεχειρήθη τοὺς ἀστηρίκτους. καὶ ἦν πάλιν τά-

Verum id non tulit humani generis peſtis Diabolus, ſed rurſus rationem excogitauit, qua tantam Chriſtianorum lætitiam ſubuerteret, & vt homines denuo creaturam in deorum numerū referrent, id obtinere nō potuit. Deprehenſa enim eſt fallacia eius; itaq; creatorem creaturis exæquari infirmis in fide perſuadere tentauit, ortusq; eſt

ingens tumultus in Dei Eccleſiis, Ario quodam Alexandrino, totum orbem ſurſum deorſumq́ perturbãte; adiunxerant ſe eius factioni pauci quidam Epiſcopi, atque inter hos primus Euſebius Nicomedienſis, & Euſebius Pamphili, aliique cum ipſo; quam contentionem Magnus cernens Conſtantinus, acerbiſsimum animo dolorẽ concepit, & initio quidem verbis, litteriſq́ admonitoriis vtriuſque partis pugnam diſſoluere conatus eſt: Vbi vero animaduertit, malum omni medicina ſuperius eſſe, ſynodum œcumenicam in vrbe Nicæna fieri præcepit, conueneruntque eò Epiſcopi numero trecenti & octodecim, quorum pleraque pars confeſſorum erat, ſtigmata Chriſti in corporibus ſuis circumferentium; quibus etiam interfuit ipſe ille magnus

ραχος οὐκ ὀλίγος ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ, Ἀρείου τινὸς Ἀλεξανδρέως ἄνω καὶ κάτω κυκλοῦντος, καὶ τὴν οἰκουμένην ταράττοντος: συναπήχθησαν δὲ αὐτῷ ἐπίσκοποί τινες ὀλίγοι τὸν ἀριθμὸν, ὧν πρῶτος εὐσέβιος ὁ νικομηδείας, καὶ εὐσέβιος ὁ παμφίλου καὶ ἕτεροι σὺν αὐτοῖς. Θεωρῶν δὲ τὴν μεγάλην φιλονεικίαν ὁ μέγας κωνσταντῖνος, ἠνιᾶτο τὴν ψυχὴν, καὶ πρῶτον μὲν ἐπειρᾶτο διὰ παραινετικῶν γραμμάτων τῶν ἑκατέρων μερῶν κατασβέσαι τὴν ἔριν. ὡς δὲ ἴδεν, ἀνήκεστον γινόμενον τὸ κακὸν, προσέταξε γενέσθαι οἰκουμενικὴν σύνοδον ἐν τῇ νικαέων πόλει, καὶ συνῆλθον ἐπίσκοποι τὸν ἀριθμὸν τριακόσιοι δέκα καὶ ὀκτώ. ὧν οἱ πλεῖστοι ἦσαν ὁμολογηταὶ, τὰ στίγματα τοῦ ἰησοῦ ἐν τῷ σώματι βαστάζοντες, ἦν δὲ σὺν αὐτοῖς καὶ ὁ πανεύφημος Κωνσταντῖνος

νος, καὶ δὴ τῆς ὑποθέσεως κινηθείσης, ἔκθεσιν πίστεως ἔγγραφον ἐξήνεγκαν, τὴν κατὰ πᾶσαν ἐκκλησίαν ὀρθοδόξων νῦν ἀπαγγελλομένην. τοὺς δὲ περὶ ἄρειον, καὶ εὐσέβιον τὸν νικομηδέα ἐπιμένοντας τῇ κακοδοξίᾳ ἀπεκήρυξαν, καὶ ἐξωρίσθησαν, καὶ ἐχειροτονήθησαν ἕτεροι ἀντ' αὐτῶν. Φιλοτιμησάμενος δὲ ὁ βασιλεὺς τοὺς ἐπισκόπους, καὶ ἀσπασάμενος ἀπέλυσε μετ' εἰρήνης εἰς τὰς ἰδίας παροικίας, χαίρων ἐπὶ τῇ συμφωνίᾳ τῶν ἐκκλησιῶν.

omniumq; præconio digniſsimus Conſtantinus. cumq; res tractari cœpta eſſet, fidei expoſitionem litteris mandatam ediderunt, quæ nunc ritè per vniuerſam orthodoxorũ Eccleſiam pronunciatur. Eos autem qui in praua Arij, & Euſebij Nicomedienſis opinione permãſerant, à ſuo corpore abſciderunt, exilioq; damnarunt, aliis in eorum locum creatis; maximo autem honore Imperator Epiſcopos afficiens, eosq; quã humaniſsimè complectens ſingulos in ſuas diœceſes dimiſit; gauiſus ſupra modum propter vnanimem Eccleſiarum conſenſum.

Παρεκελεύσατο δὲ τῷ τῆς Αἰλίας ἐπισκόπῳ Μακαρίῳ παρόντι ἐν τῇ συνόδῳ, καὶ τῶν ἀποστολικῶν δογμάτων ὑπερμαχοῦντι ἀναζητῆσαι τὸν ζωοποιὸν σταυρὸν, καὶ τὸ θεοδόχον μνῆμα, καὶ πάντας τοὺς ἁγίους τόπους, καὶ τοὺς ἄλλους δὲ ἐπισκόπους ὁμοίως περιετρέψα-

Mandauit autem Macario Ælienſi Epiſcopo, qui & ipſe ſynodo interfuerat, & pro Apoſtolicis dogmatibus acriter pugnauerat, vt in viuifica cruce quærenda ſepulchroque diuino ac reliquis ſanctis religioſiſq; locis inueſtigandis omnem diligentiam adhiberet. Etiam

alios Epiſcopos eſt adhortatus, vt peteret vnuſquiſque, quod ad perfectioné ſuæ Eccleſiæ neceſſarium eſſe cerneret. Agebatur auté decimus nonus imperij eius annus, quando facta eſt ſynodus Nicęna.

Poſthæc miſit Imperator matrem ſuam Helenam, mulieré omni laudum genere digniſsimã Deiq́ amãtiſsimam, cum litteris, magnaq́ pecuniæ vi ad Macarium meritò hoc nomine inſignitum, Ælienſem Epiſcopum, vt vnà cum eo viuificum lignum inueſtigaret ſacraque ædificiis exornaret, idipſum expoſcente Imperatrice, aſſerenteq́ diuinam viſionem ſibi oblatam, quę iuſſerit, vt Hieroſolymam ſeſe reciperet, & ſacra loca ab improbis obruta, & tanto tempore ex hominũ cognitione erepta in lucem educeret.

Epiſcopus autem, vbi

το. αἰτήσασθαι, εἴ τι συνορᾷ εἰς ἀπαρτισμὸν ἕκαστος, τῆς ἰδίας ἐκκλησίας. ἦν δὲ ἐννεακαιδέκατον ἔτος τῆς βασιλείας αὐτοῦ, ὅτε ἐγένετο κατὰ Νικαίαν σύνοδος.

Μετὰ ταῦτα ἀπέστειλεν ὁ βασιλεὺς τὴν ἑαυτοῦ μητέρα Ἑλένην, τὴν ἀξιέπαινον καὶ θεοφιλῆ εἰς ἱεροσόλυμα. μετὰ γραμμάτων καὶ χρημάτων ἀφθονίας. πρὸς τὸν φερώνυμον μακάριον τῆς Αἰλίας ἐπίσκοπον ἐπὶ ἀναζητήσει τοῦ ζωοποιοῦ ξύλου τοῦ ἐνδόξου σταυροῦ καὶ οἰκοδομῇ τῶν ἁγίων τόπων. αὐτῆς τοῦτο αἰτησάσης τῆς βασιλίδος, φασκούσης ὀπτασίαν τινὰ θείαν ἑωρακέναι κελεύουσαν αὐτῇ τὰ ἱεροσόλυμα καταλαβεῖν. καὶ τοὺς ἁγίους τόπους εἰς φῶς ἀγαγεῖν, χωσθέντας ὑπὸ τῶν ἀνόμων, καὶ ἀφανεῖς γεγονότας ἐπὶ τοσούτους χρόνους.

Μαθὼν δὲ ὁ ἐπίσκοπος

ἀφικο-

ἀφικομένην τὴν βασιλίδα συναγαγὼν σὺν τοῖς τῆς ἐπαρχίας ἐπισκόποις μετὰ τῆς δεούσης τιμῆς ἀπήντησεν αὐτῇ. εὐθέως δὲ παρεκέλευσε σὺν τοῖς ἐπισκόποις τὴν ζήτησιν τοῦ ποθουμένου ξύλου ποιήσασθαι. ἀπορούντων δὲ πάντων ἐπὶ τοῦ τόπου, καὶ ἄλλου ἄλλο ὑποψίας διηγουμένου, ὁ τῆς πόλεως ἐπίσκοπος πάντας παρεκάλει ἡσυχίαν ἄγειν, καὶ σπουδαιοτέραν εὐχὴν ὑπὲρ τούτου τῷ θεῷ προσφέρειν. τούτου δὲ γινομένου, εὐθέως ἐδείχθη θεόθεν ὁ τόπος τῷ ἐπισκόπῳ ἐν ᾧ ἵδρυτο τοῦ ἀκαθάρτου δαίμονος ὁ ναὸς καὶ τὸ ἄγαλμα.

intellexit Imperatricem iam aduẽtare, cum comprouincialibus Epiſcopis debito cum honore obuiam ꝓceſsit. Statim verò eis iniungit, vt ad inueniendum deſideratum crucis lignũ ſe totos darent. Dubitantibus verò omnibus ſuper loco, aliiſq; aliud ex ſuſpicione commemorantibus, Macarius omnes quieto eſſe iuſsit animo & ſedulas Deo preces offerre. Quo facto, confeſtim diuinitus locus ille Epiſcopo reuelatus eſt, in quo ꝓpoſita erãt impuriſsimi Dæmonis templũ & effigies.

Τότε ἡ βασίλισσα τῇ βασιλικῇ αὐθεντίᾳ χρωμένη συναγαγοῦσα πλῆθος πολὺ τεχνιτῶν, καὶ ἐργατῶν ἐκέλευσεν ἐκ βάθρων ἀναστραπῆναι τὸ μυσαρὸν οἰκοδόμημα, καὶ τὸν χοῦν πόῤῥω που ἀποῤῥιφῆναι. τούτου δὲ γινομένου ἀνεφάνη τὸ θεῖον μνῆμα, καὶ ὁ τόπος τοῦ κρανίου,

Tunc Imperatrix Imperatoria vtens auctoritate magno numero opificum & operariorum ex fundamentis Dæmonis iſtius templum ſubuerti iuſsit, quod ſimulatq; effectum eſt, apparuit diuinum monumentum, & locus Caluariæ, & non

procul inde tres cruces defoſſæ. Diligẽtius etiam inueſtigantes, inuenerunt & clauos.

Hic vero alia Imperatricem cura inuaſit inquirentem, quæ nam de tribus verè Dominica crux eſſet; quam dubitationẽ Epiſcopus per fidem diſſoluit. Cum quędam mulier, cunctis nota, & ab omnibus iam deſperata, etiam ferè ſpiritum exhalaret, productis duabus crucibus, eam quæ quærebatur, inuenit, ſimul atque enim ſola Dominicæ crucis vmbra ægrotam attigit, prinus diuina virtute exiliẽs magna Deum voce glorificauit.

καὶ ἐμηνύθησαν τρεῖς σταυροὶ κεχωρισμένοι, ἐπιμελῶς δὲ ἐρευνήσαντες εὗρον καὶ τοὺς ἥλους.

Ἐκεῖθεν λοιπὸν ἀμηχανία καὶ θλῖψις κατέλαβε τὴν βασίλισσαν, ἐπιζητοῦσαν, ποῖος ἄρα εἴη ὁ δεσποτικὸς σταυρός. ὁ δὲ ἐπίσκοπος διὰ πίστεως τὴν διάκρισιν ἔλυσεν. γυναικὶ γὰρ ἀῤῥωστούσῃ τῶν ἐμφανῶν, καὶ ἀπεγνωσμένῃ ὑπὸ πάντων, καὶ τὰ τελευταῖα πνεούσῃ προσαγαγὼν ἑκάτερον τῶν σταυρῶν τὸν ζητούμενον ηὗρεν. μόνον γὰρ ἤγγισεν ἡ σκιὰ τοῦ σωτηρίου σταυροῦ τῇ ἀσθενούσῃ, εὐθὺς ἡ ἄπνους καὶ ἀκίνητος θείᾳ δυνάμει παραχρῆμα ἀνεπήδησεν ἐν μεγάλῃ τῇ φωνῇ βοῶσα καὶ δοξάζουσα τὸν Θεόν.

Imperatrix verò maximo cum gaudio, pariter & reuerentia crucem viuificam ſuſcipiens, partem eius cum clauis ad filium retulit, reliquã verò confecta theca aurea eius ciuitatis Epiſcopo tradidit in perpetuam omni-

Ἡ δὲ βασίλισσα Ἑλένη τῇ φωνῇ βοῶσα καὶ δοξάζουσα τὸν θεὸν μετὰ χαρᾶς μεγάλης καὶ φόβου ἀνελομένη τὸν ζωοποιὸν σταυρὸν, μέρος μέντοι σὺν τοῖς ἥλοις, ἀνεκόμισε πρὸς τὸν παῖδα. τῷ δὲ λοιπῷ γλωσσόκομον ἀργυροῦν

ποιή-

ποιήσασα, παρέδωκε τῷ ἐπισκόπῳ τῆς πόλεως, εἰς μνημόσυνον πάσαις γενεαῖς, καὶ θεσπίσασα ἐκκλησίαν γενέσθαι ἐν τῷ ζωοποιῷ μνήματι καὶ τῷ ἁγίῳ γολγοθᾷ καὶ ἐν τῇ Βηθλεὲμ ἐν τῷ σπηλαίῳ, ἔνθα ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς τὴν κατὰ σάρκα γέννησιν ὑπέμεινε, καὶ ἐν ὄρει τῶν ἐλαιῶν, ἔνθα ὁ κύριος εὐλογήσας σὺν μαθηταῖς ἀνελήφθη. καὶ ἄλλα πολλὰ ποιήσασα ἐν ἱεροσολύμοις, ἀνέστρεψε πρὸς τὸν παῖδα.

Ὁ δὲ μετὰ χαρᾶς αὐτὴν ἀποδεξάμενος, τὸ μὲν τοῦ τιμίου σταυροῦ μερίδα, ἐν χρυσῇ θήκῃ ἀποθέμενος, παρέδωκε τῷ ἐπισκόπῳ εἰς τήρησιν, ἐνιαυτίαις μνήμαις ἑορτάζειν τὴν ἀνάδειξιν τοῦ τιμίου σταυροῦ προστάξας· τῶν δὲ ἥλων τοὺς μὲν εἰς τὴν ἰδίαν περικεφαλαίαν ἐχάλκευσεν. τοὺς δὲ ἀνέμιξε τῷ συμβαρείῳ τοῦ ἵππου αὐτοῦ ἵνα πληρωθῇ τὸ ῥηθὲν τοῦ κυρίου διὰ τοῦ προφήτου λέγοντος. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ἔσται τὸ

bus gētibus memoriam. Quæ, poſtquam præcepiſſet in loco viuifici ſepulchri templum ædificari, & aliud ſimiliter in ſacro monte Golgotha, & in Bethleem, vbi Dominus ſecūdum carnem natus fuerat, & in monte oliuarum, vbi Dominus diſcipulis benedicens, aſſumptus eſt, aliiſque præclaris id genus confectis, ad filium rediit.

Quam magna cum voluptate ſuſcipiens adorādę crucis partem in loculis aureis repoſuit, eamq; Epiſcopo perpetuò cuſtodiēdam dedit, annuis feſtis, inuentionem crucis celebrandam præſcribens. Clauos autem partim galeæ ſuæ incudi mādauit, partim equi ſui lupatis immiſcuit, vt impleretur quod à Domino per prophetam dictum fuerat: *In illa die erit, quod ſuper frænum equi eſt, ſan-*

ctum Domino omnipotenti.

Imperator deinde ad Macarium Epiſcopũ ſcripſit, vt ædificationẽ templorum maturaret, & architectum eo miſit, cum magno pecuniæ pondere, cui etiam in mandatis dedit, vt diligenter ſacra loca ædificiis exornaret, ita vt eorum magnificentię nihil toto orbe par inueniri poſſet. ſcripſit etiam ad præfectos illius ꝓuinciæ, vt publico ære & ſumptibus, & materiâ illud opus, quantum poſſent, promouerent. Celebrabat autem tunc Imperator ſplendidè imperij ſui vicennalia gratias agens Deo pro omnibus beneficiis tempore Imperij in ſe collatis. Colliguntur autem à Chriſti in carne præſentiâ, vſque ad tempus inuentionis crucis venerandæ, anni trecenti qninquaginta duo. Ab Adam vero, vſque ad tempus, quo Chriſtus in carne apparuit anni quinges

ἐπὶ τὸν χαλινὸν τοῦ ἵππου ἅγιον κυρίῳ παντοκράτορι.

Ὁ δὲ βασιλεὺς ἔγραψε ἐπισκόπῳ μακαρίῳ ἐπισπεύδειν τὴν οἰκοδομὴν, καὶ ἄρχοντα τοῦ ἔργου ἀπέστειλε μετὰ δαψιλείας χρημάτων, παραγγείλας αὐτῷ φιλοτίμως κοσμῆσαι τοὺς ἁγίους τόπους, ὡς μὴ εἶναι τοιαύτην καλλονὴν ἐν πάσῃ τῇ γῇ. ἔγραψε δὲ καὶ τοῖς ἡγεμόσι τῆς ἐπαρχίας παντοίως συνελθεῖν τῷ ἔργῳ ἐκ τοῦ δημοσίου λόγου, ἔν τε χρήμασι καὶ ἀναλώμασι καὶ ὕλαις. τὴν δὲ ὁ βασιλεὺς φαιδρῶς ἄγων τῆς εἰκοσαετηρίδος τὴν ἑορτὴν, εὐχαριστῶν τῷ θεῷ ὑπὲρ πάντων τῶν ἀγαθῶν, ὧν ἐποίησεν ἐν τοῖς χρόνοις τῆς βασιλείας αὐτοῦ. συνάγονται δὲ τὰ ἔτη ἀπὸ μὲν χριστοῦ παρουσίας, ἕως τῆς εὑρέσεως τοῦ σταυροῦ τριακόσια πεντήκοντα δύο ἔτη. ἀπὸ δὲ Ἀδὰμ, ἕως παρουσίας χριστοῦ ἔτη πεντακισχίλια πεντακό-

σια. καθ' ἑτέρους δὲ πεντακισχίλια τετρακόσια ἑβδομήκοντα πέντε.

mille quingenti: Secundũ alios verò quinquies mille quadringẽti ſeptuaginta quinque.

Ἐν δὲ αἰλίᾳ τὸν φερώνυμον μακάριον διεδέξατο μαξιμωνᾶς. οὗτος δὲ πρᾶος ἀνὴρ καὶ ἐπίσημος λίαν. ἐν γὰρ τῷ διωγμῷ πολλὰς βασάνους ὑπέμεινε διὰ τὸν θεὸν καὶ τὸν δεξιὸν ὀφθαλμὸν ἀπολέσας ἀπελύθη ἐπὶ τῇ ὁμολογίᾳ τῆς πίστεως. κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἡ μακαρία ἑλένη ἡ βασίλισσα τέλος τοῦ βίου ἐχρήσατο, ἐτῶν οὖσα ὀγδοήκοντα. πολλὰ ἐντειλαμένη τῷ παιδὶ περὶ τῆς εἰς χριστὸν εὐσεβείας.

In vrbe autẽ Ælia ſucceſsit Macario Epiſcopo Maximinus vir placidiſſimus, & venerabilis inprimis, vtpote, qui in perſequutione plurima tormenta pertulerat; huic oculus alter extritus fuerat. Eodem tempore beata Helena moritur, ætatis annum agens octogeſimum multa filio ſuo de Chriſtiana pietate præcipiens.

Ἕως ὧδε περὶ τῆς εὑρέσεως τοῦ ζωοποιοῦ σταυροῦ ἡ ἱστορία ἔσω. καὶ μηδεὶς ἑαυτὸν ἀπατάτω ματαιολογῶν ἀσύμφορα καὶ μυθοποιίας δι' ὀνομάτων παραξένων παρεισάγων τῇ ὑποθέσει. οὐδὲ γὰρ ἐπίσκοπος ἕτερος ἱεροσολύμων γέγονε πώποτε παρὰ τοὺς προσγεγραμμένους. οὐδὲ βασιλεὺς ἕτερος ῥωμαίων, οὐδὲ μὴν ἑτέρῳ τρό-

Huc vſq; de inuentione S. Crucis dictum ſit, & nemo ſeipſum decipiat vana referendo, fabuloſaſque narrationes peregrinis nominib⁹ contextas argumento huic inſerendo. Neque enim vllus alius Epiſcopus Hieroſolymitanus præter prædictos fuit, neque alius Romanorũ Imperator, neque alio modo veneran-

πῳ

da crux inuenta eſt. Ab Auguſto enim Imperatore, ſub quo Chriſtus ſecundum carnem natus eſt, vſq; ad Conſtãtinum Magnum triginta quinq; Imperatores interceſſerunt. Similiter à Iacobo fratre Domini vſque ad huius Imperium, triginta quinque fuerunt Hieroſolymis Epiſcopi. Venerandam autem diem dedicationis ſanctorum locorũ, & exaltationis adorandæ crucis, Patres ex Imperatorio iuſſu, definierunt quotannis celebrandam decimo quarto die Septembris, qui eſt XVIII. Kalend. Octobris, In honorem Patris, & Filij, & Spiritus ſancti.

πω ὁ τίμιος σταυρὸς εὑρέθη. ἀπὸ γὰρ Αὐγούστου τοῦ βασιλέως ἐφ᾽ οὗ ἐγεννήθη ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὸ κατὰ σάρκα ἕως τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου τριάκοντα καὶ πέντε γεγόνασι βασιλεῖς. ὁμοίως δὲ καὶ ἀπὸ Ἰακώβου τοῦ Ἀποστόλου καὶ πρώτου τῶν ἐπισκόπων ἕως τῆς αὐτῆς βασιλείας τριάκοντα καὶ πέντε ἱεροσολύμων ἐπίσκοποι γεγόνασι. τὴν δὲ σεβάσμιον ἡμέραν τῶν ἐγκαινίων τῶν ἁγίων τόπων, καὶ τῆς ὑψώσεως τοῦ προσκυνητοῦ σταυροῦ ὡρίσαντο οἱ πατέρες μετὰ βασιλικοῦ προστάγματος γίνεσθαι ἀνὰ ἔτος ἕκαστον τῇ τεσσαρεσδεκαίτῃ κατὰ ῥωμαί- τοῦ σεπτεμβρίου μηνὸς ἥτις ἐστὶν ἡ πρὸ δεκαοκτὼ καλανδῶν ὀκτωβρίων, εἰς δόξαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

Quoniam verò, diuina nos adiuuante gratia, oratione proceſsimus ad ſplendidam feſti noſtri diem, quæ eſt oſtenſio & exaltatio S. Crucis, age,

Ἐπειδὴ δὲ χάριτι τοῦ θεοῦ κατηντήσαμεν τῷ λόγῳ εἰς τὴν ἐνσημον ἡμέραν τῆς ἑορτῆς ἡμῶν, ἥτις ἐστὶν ἡ ἀνάδειξις τοῦ ζωοποιοῦ σταυροῦ,

φέρε

φέρε καθὼς οἷόν τέ ἐστι μικρὰ χαιρετήσαντες τοῦτον καταπαύσωμεν τὸν λόγον.

Χαίροις τοίνυν σταυρὲ τίμιε χαίροις, ὅτι ἐν σοὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὑψώθη οἰκονομικῶς· ἐν ᾧ πάντες οἱ θησαυροὶ τῆς χαρᾶς καὶ τῆς χάριτος. χαῖρε σταυρὲ τίμιε. διά σου γὰρ ἀέναος χαρὰ ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς βραβεύεται. χαῖρε σταυρὲ τίμιε ὅτι ἄνωθεν καὶ ἐξ ἀρχῆς ὁ δημιουργὸς ἐν πάσῃ κτίσει τὴν εἰκόνα σου ἐζωγράφησεν. χαῖρε σταυρὲ ἔνδοξε ὅτι πᾶσαι αἱ κατ᾽ οὐρανὸν δυνάμεις ἴσως τῇ διά σου σωτηρίᾳ φρικωδεστάτους ὕμνους ἀναπέμπουσι τῷ δεσπότῃ. χαῖρε σταυρὲ ἔνδοξε. διά σου γὰρ καὶ ἐν πόλεσι, καὶ ἐν νήσοις, καὶ ἐν παντὶ ἔθνει ἐκκλησίαι ὀρθοδόξων τεθεμελίωνται. χαῖρε σταυρὲ ἔνδοξε. διά σου γὰρ πᾶν στόμα πιστῶν εἰς θεολογίαν ἠνέωκται. χαῖρε σταυρὲ μακάριε.

quantũ in nobis eſt, crucem paucis quibuſdam ſalutationibus proſequamur;ſicq́; ſermoni noſtro finem imponamus.

Salue igitur crux pretioſa;ſalue, quia in te Dominus noſter Ieſus Chriſtus per diſpenſationem exaltatus eſt, in quo ſunt omnes theſauri lætitiæ & gratiæ: ſalue crux pretioſa, per te enim æterna lætitia in cœlo ſimul atq; in terra paratur. ſalue crux pretioſa,quia diu ante,atque adeo ab omni principio, conditor rerum in vniuerſa creatura tuam imaginẽ depinxerat. Salue crux glorioſa; quia omnes poteſtates cęlorum ob ſalutẽ per te partam, tremendos Deo hymnos offerunt. Salue crux glorioſa, per te enim in ciuitatibus, inſulis,omnibuſque nationibus Eccleſiæ orthodoxorũ fundamẽta accipiunt. Salue crux glorioſa, quia per te omnia fidelium ora in ſermones

de Deo reſoluuntur. Salue crux beata, per te enim cœleſtes Angeli cum hominibus in terra Chriſtũ celebrãt. Salue crux beata, per te enim homines terreſtres cum Angelis ſimiliter ante Deum conſiſtunt cum ineffabili gaudio omnium rerum conditorem glorificãtes. Salue, crux beata, per te enim Adamus à maledictione liberatus ſaliens & exultans in paradiſum introiuit, primæua dignitate recepta. Salue crux ſancta, per te omnis Diabolica poteſtas proſtrata eſt, & omnis Diabolica operatio. Salue crux ſancta, per te enim ter ſancta & conſubſtantialis Trinitas agnoſcitur, creditur & glorificatur. Salue crux ſancta, per te enim bona, quæ nunquam auferẽtur, hominibus conceſſa ſunt.

Et quid tandẽ dicemus, & quid omittemus? Quomodo pro meritis poten-

διὰ σοῦ γὰρ ἄγγελοι οὐράνιοι σὺν ἀνθρώποις ἐπὶ γῆς Χριστὸν ὑμνοῦσι. χαῖρε σταυρὲ μακάριε. διὰ σοῦ γὰρ ἐν οὐρανοῖς ἐπίγειοι ἄνθρωποι ὁμοίως παρίστανται τῷ θεῷ μετὰ ἀνεκλαλήτου χαρᾶς τὸν ποιητὴν δοξάζοντες. χαῖρε σταυρὲ μακάριε, διὰ σοῦ γὰρ ὁ ἀδὰμ τῆς κατάρας ἐλευθερωθεὶς σκιρτῶν καὶ ἀγαλλιώμενος εἰς τὸν παράδεισον εἰσελήλυθεν ἀπολαβὼν τὸ ἀρχαῖον ἀξίωμα. χαῖρε σταυρὲ ἅγιε. διὰ σοῦ γὰρ πᾶσα διαβολικὴ δύναμις καταβέβληται, καὶ πᾶσα δαιμονικὴ ἐνέργεια καταλέλυται. χαῖρε σταυρὲ, ἅγιε. διὰ σοῦ γὰρ ἡ τρισαγία καὶ ὁμοούσιος τριὰς παντὶ τόπῳ γνωρίζεται καὶ πιστεύεται καὶ δοξολογεῖται. χαῖρε σταυρὲ ἅγιε. διὰ σοῦ γὰρ τὰ ἀναφαίρετα ἀγαθὰ τοῖς ἀνθρώποις δεδώρηται.

Καὶ τί εἴπωμεν καὶ τί παραλείψωμεν; πῶς ἀνυμνήσωμεν τὴν δύναμιν τοῦ δε-

ποτικοῦ σταυροῦ; ὦ ὄνομα σταυροῦ, ἐν ᾧ τὰ μεγαλεῖα τῶν μυστηρίων τοῦ θεοῦ ἐγκέκρυπται, ἀγγέλοις αἰδέσιμον καὶ ἀνθρώποις σεβάσμιον. τί γὰρ ἐρασμιώτερον ὀνόματος σταυροῦ, ἢ ἡδύτερον χριστιανοῖς; τί δὲ τούτου ἐνεργέστερον εἰς θαυματουργίαν;

Σταυρὸς θείας δυναστείας ἐνεργέστατον σημεῖον. σταυρὸς ἀγγέλων χαρὰ καὶ δαιμόνων πένθος. σταυρὸς ἐκκλησίας θεμέλιος. σταυρὸς τοῦ παντὸς κόσμου φωστὴρ ἀειφανὴς καὶ παντοφανής. σταυρὸς τεῖχος ἀκράδαντον καὶ ἄρραγες καὶ ἀκαταπολέμητον πάσης τῆς οἰκουμένης. σταυρὸς ἱερέων δόξα, ἱεροπρεπὴς καὶ ἀνεπηρέαστος. σταυρὸς βασιλέων κράτος καὶ δυναστεία, καὶ νικητικὸν ὅπλον κατὰ τῶν πολεμίων. σταυρὸς στρατοπέδων πανοπλία παναλκεστάτη, καὶ ἀκατάπληκτος τοῖς ἐναντίοις. σταυρὸς

tiam Dominicæ Crucis decantabimus? O crucis nomen, in quo magnalia myſteriorum Dei abſcõdita ſunt, Angelis reuerendum, & hominibus venerandum. Quid enim amabilius aut ſuauius Chriſtianis nomine crucis? Quid eo efficacius ad patranda miracula?

Crux diuinæ potentiæ efficaciſsimum ſignũ eſt. Crux Angelorum gaudium, luctusq; Dæmonum. Crux Eccleſiæ fundamẽtum. Crux totius mundi lucerna ſemper & vbique lucens. Crux murus inexpugnabilis perfringi neſcius, & inuictus totius orbis. Crux ſacerdotum conueniens & confuſionis expers gloria. Crux Regum robur, potentia, & armatura victrix contra hoſtes. Crux exercituum armatura fortiſsima; & hoſtibus inſuperabilis. Crux ciuitatum cuſtodia nec inſidiis, nec

πόλεων

prædæ obnoxia. Crux populorum Dæmonum perpetua & irrequieta pernicies. Crux Dæmonum ruina fatalis & æterna. Crux Chriſtianorũ ſpes firma, omnis confuſionis & imminutionis expers. Crux ægrotantium tàm animarũ quèm corporum medicina decertiſsima. Crux benè valentium caſus ignara ſanitas. Crux eorum, qui vndis iactantur, portus tranquillus. Crux belligerantium pax inconuulſa. Crux orthodoxorum gloriatio gloriationum, & hæreticorum iugis cõdemnatio:

πόλεων φυλακτήριον ἀνεπιβούλευτον καὶ ἀσκύλευτον. σταυρὸς λαῶν εὐφροσύνη διηνεκὴς καὶ ἀκατάληπτος· σταυρὸς διαβόλων πανολεθρία διηνεκὴς καὶ ἀκατάπαυστος, σταυρὸς δαιμόνων κατάπτωμα αἰώνιόν τε καὶ ἐξαίσιον. σταυρὸς χριστιανῶν ἐλπὶς βέβαιά τε καὶ ἀνεπαίσχυντος καὶ ἀμείωτος, σταυρὸς ἀσθενούντων ἴασις εὐπρεπεστάτη ψυχῶν τε καὶ σωμάτων, σταυρὸς εὐεκτούντων ἀδιάπτωτος ὑγειά. σταυρὸς χειμαζομένων λιμὴν εὐδιάστατος. σταυρὸς πολεμουμένων εἰρήνη ἀστασίαστος. σταυρὸς ὀρθοδόξων καύχημα καυχημάτων, καὶ αἱρετικῶν κατάκριμα ἀκατάπαυστον:

Crux Idololatriæ diſiectio, & pietatis reſtitutio. Crux virginitatis magiſtra, & tẽperantiæ cuſtos. Crux ſecuritas, & peccatorum pœnitentia. Crux Monachorum ornamentum, & eorum, qui honeſtẽ viuunt, decus. Crux infantium cuſtos; iuue-

σταυρὸς εἰδωλολατρείας κατάλυσις, καὶ εὐσεβείας ἀνόρθωσις. σταυρὸς παρθενίας διδάσκαλος, καὶ σωφροσύνης φύλαξ. σταυρὸς δικαίων ἀσφάλεια, καὶ ἁμαρτωλῶν μετάνοια. σταυρὸς μοναζόντων ἐγκαλλώπισμα, καὶ σεμνῶς βιούντων

εὐκοσ-

εὐκοσμία. σταυρὸς νηπίων φύλαξ, καὶ νέων σωφρονισμὸς, καὶ γερόντων στηριγμοῦ βακτηρία. σταυρὸς πτωχῶν ἀδαπάνητος θησαυρὸς, καὶ πλουσίων αὐταρκείας διδάσκαλος. σταυρὸς πεπλανημένων ὁδὸς, καὶ ἀπολλυμένων ἀπλανὴς ὁδηγός. σταυρὸς ἀνάπαυσις ἐν κόποις ἡμερινοῖς καὶ βοήθεια ἐν φόβοις νυκτερινοῖς. σταυρὸς ἐθνῶν εὐταξία, καὶ παντὸς τοῦ κόσμου βαθυτάτη γαλήνη.

num temperantia, & ſenibus firmandis baculus. Crux pauperum inconſumptus theſaurus; & diuitum doctrix quid ſatis ſit. Crux errantium via, & pereuntium dux certiſsma ad ſalutem. Crux requies in laborib⁹ diurnis, & auxilium in timorib⁹ nocturnis. Crux nationum diſciplina, & totius mundi pax ꝓfundiſsima.

Καὶ τί εἴπωμεν, ἢ τί παραλείψωμεν, ἢ πῶς σε ἀνυμνήσωμεν πανένδοξε σταυρέ; ὅτι σε μόνον ἀπὸ πάσης τῆς κτίσεως ὁ βασιλεὺς τῆς δόξης ἀνέδειξεν ὅπλον ἀήττητον κατὰ τοῦ διαβόλου, καὶ τῆς ἁμαρτίας, καὶ τοῦ θανάτου. διὸ μακάριοί ἐσμεν πάντες οἱ καταξιωθέντες τὴν ἁγίαν ἰδεῖν ἡμέραν τῆς σῆς ἀναδείξεως. σὺ εἶ τῶν προφητῶν τὸ κήρυγμα· περὶ σοῦ γὰρ ἀγαλλιώμενοι ὡσημέραι κελαδοῦσι λέγοντες πρὸς τὸν

Et quid dicemus, aut quid omittem⁹, aut quomodo te celebrabimus, ô glorioſa crux; quia te ſolam ex omnium creaturarum numero fecit Rex gloriæ inuictam contra Diabolum, peccatum, & mortem, armaturã. Quapropter beati ſumus omnes, quibus hæc gratia data eſt, vt ſanctum Oſtẽſionis ſeu Exaltationis tuę diem aſpiceremus. Tu ꝓphetarum oraculum es; per te enim exultantes

quotidie ſonoribus vocibus Deo decantant: *Dediſti metuentibus te ſignificationem, vt fugiant à facie arcus.* Tu es gloriatio Apoſtolorum; perpetuò enim in ſancta Eccleſia clamant ore cuiuſdam ſacri præconis. *Mihi verò abſit gloriari, niſi in cruce Domini noſtri Ieſu Chriſti.* Tu es Martyrum corona; quia & ipſi ſublata cruce Chriſtum ſecuti ſunt. Tu es gloriatio & exultatio eorum, qui degunt in mõtibus, ſpeluncis, & in cauernis terræ propter nomen Domini, quia & ipſi carnem cum paſsionibus & concupiſcentiis crucifixerunt. Tu eorum qui prope, & qui longè ſunt, refocillatio es & requies. O ineffabilem Dominicæ crucis gratiã. O inexplicabilia & incõprehenſibilia, quæ in eo latent, myſteria.

θεόν. ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου. σὺ εἶ τὸ καύχημα τῶν ἀποστόλων. ἀδιαλείπτως γὰρ βοῶσιν ἐν ἐκκλησίᾳ ἁγίᾳ δι᾽ ἑνὸς αὐτῶν ἱεροκήρυκος. ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ. σὺ εἶ καὶ τῶν μαρτύρων στέφανος. ἐπειδὴ καὶ αὐτοὶ τὸν σταυρὸν ἄραντες ἠκολούθησαν τῷ κυρίῳ. σὺ εἶ τὸ καύχημα καὶ τὸ ἀγαλλίαμα τῶν ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς κατοικούντων διὰ τὸ ὄνομα τοῦ κυρίου. ὅτι καὶ αὐτοὶ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυλίαις. σὺ τῶν ἐγγὺς καὶ τῶν μακρὰν ἀνάψυχη καὶ ἀνάπαυσις. ὦ τῆς ἀνεκλαλήτου χάριτος τοῦ δεσποτικοῦ σταυροῦ; ὦ τῶν ἐν αὐτῷ ἀνεκλαλήτων καὶ ἀκαταλήπτων μυστηρίων;

Καὶ ἵν᾽ εἴπω κἀγὼ ἐκστατικόν τι μετὰ τῆς ἱερᾶς σάλπιγγος· ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ; ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ. παρὰ γὰρ τῷ ξύλῳ τῆς ζωῆς νεκρωθέντες, παρὰ τῷ ξύλῳ τῆς κατακρίσεως ἐζωοποιήθημεν. Διὰ τὴν ἄμετρον χάριν τοῦ σεσωκότος δεσπότου, δέον ἡμᾶς τὴν πανέορτον ταύτην συστήσασθαι ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου· πυκάζοντα δέ εἰσιν ὥς φασιν, οἱ περὶ ταῦτα δεινοὶ, τὰ ἐξ ἀμελείας ἢ παλαιότητος ῥυπωθέντα εἶτα ἐξ ἐπιμελείας καὶ σπουδῆς πάλιν ἐπὶ τὸ τιμαλφέστερον μετασκευασμένα εἰς εὐφροσύνην καὶ τέρψιν τῶν εὐωχηθησομένων ἐν γάμοις, ἐν ἑτέρᾳ τινὶ φαιδρᾷ θυμηδίᾳ.

Διατεθῶμεν τοίνυν ὡς προστετάγμεθα, καὶ τὴν συμβᾶσαν ἡμῶν ἐκ ῥαθυμίας τῇ συνειδότι ἀπεκδυ-

Et vt ego quoq; aliquid quaſi ex raptu cum ſacra illa tuba proloquar. *O altitudo diuitiarum ſapientiæ & ſcientiæ Dei, quam inueſtigabilia ſunt iudicia eius.* Nam iuxta lignum vitæ interempti; viciſſim iuxta lignum condemnationis viuificati ſumꝰ. Quocirca ꝓpter immenſam gratiam Domini Saluatoris decet, vt hoc feſtum celebremus *in condenſis, vſq; ad cornua altaris.* Sunt autem condēſa, vt harum rerum periti tradunt, ea, quę vel ex negligentia, vel ex vetuſtate ſordidata; deinde cura & induſtria in meliorem formam reformantur ad lætitiam & voluptatem conniuantium in nuptiis: ſplendidiori ſpeciei reſtituta.

Agamus ergo, vt iubemur, & quidquid inquinaméti conſcientia contraxit, abiiciamus, dum

hunc illuſtrem & omni veneratione proſequendum diem in memoriam viuificæ crucis feriamur. Eleemoſynis & fide, ꝓut mandat ſcriptura libertatem timore & reuerentia ornatam adepti, & victricibus crucis armis in humeros ſublatis, hymnum illum Angelicum, qui nobis cœlitus ad placandam omnem iram donatus eſt, Deo pro more decantemus. *Sanctus Deus, ſanctus fortis, ſanctus immortalis, miſerere nobis*, ſancta Trinitas, incomprehenſibilis, incircũſcripta, extra ſe non prodiens, conſubſtantialis, ęqualis poteſtatis, durationis, gloriæ miſerere nobis, & propitiare peccatis noſtris propter nomen ſanctum tuum, & da nobis inuenire miſericordiá & miſerationes in illa die iuſtę retributionis tuæ. Tu enim es Deus noſter, & te Patrẽ, Filium, &

σάμενοι ἀειδίαν, τὴν φαιδρὰν ταύτην καὶ πάνσεπτον ἡμέραν τοῦ ζωοποιοῦ σταυροῦ μνήμης ἐπιτελέσωμεν, ἐλεημοσύναις τε καὶ πίστει καθὼς φησιν ἡ θεία γραφὴ παῤῥησίαν ἐν εὐλαβείᾳ κεκοσμημένην ἀναλαβόντες, καὶ ἄραντες ἐπὶ τῶν ὤμων τὸ νικητικὸν ὅπλον τοῦ ζωοποιοῦ σταυροῦ τὸν δωρηθέντα ἡμῖν οὐρανόθεν εἰς παῦσιν πάσης ὀργῆς ἀγγελικὸν ὕμνον συνήθως πρὸς τὸν θεὸν βοήσωμεν. ἅγιος ὁ θεὸς, ἅγιος ὁ ἰσχυρὸς ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς, ἁγία τριὰς, ἀκατάληπτε, ἀπερίορισε, ἀνεκφοίτητε, ὁμοούσιε καὶ ὁμόθρονε καὶ ὁμόχρονε καὶ ὁμόδοξε, ἐλέησον ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου τοῦ ἁγίου. καὶ δὸς ἡμῖν εὑρεῖν ἔλεος καὶ οἰκτιρμοὺς ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδώσεώς σου τῆς δικαίας. Σὺ γὰρ εἶ ὁ θεὸς ἡμῶν καὶ πρέπει σοι τῷ πατρὶ

καὶ

καὶ τῷ υἱῷ καὶ τῷ πνεύματι δό-
ξα, μεγαλοσύνη, κράτος καὶ
ἐξουσία πρὸ παντὸς αἰῶνος,
καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας
αἰῶνας τῶν αἰώνων,
Ἀμήν.

Spiritum S. decet gloria, magnificentia, imperium & poteſtas ante omne ſæculum, & nunc & in vniuerſa ſæculorum ſæcula, Amen.

F I N I S.

THEODORI PRODROMI EPIGRAMMATA IN SANCTAM CRUCEM.

Ex Tetraſtichis in Geneſin.

Εἰς τὴν τοῦ ὄφεως ἀπάτην.

Jn ſerpentis deceptionem.

ΔΑίμων, φθόνος, γύναιον, ἡδονῆς ξύλον,
Ἀπεκδύουσιν, ἐξ ἐδὲμ πέμπουσί με.
Θεὸς, πόθος, γύναιον ἔντιμον ξύλον
Ἐπενδύουσιν, εἰς ἐδὲμ πέμπουσί με.
Dæmon, inuidia, mulier, voluptatis lignum,
Exuunt, & ex Edem emittunt me.
Deus, deſiderium, mulier, venerabile lignum
Induunt, & in Edem immittunt me.

Ex tetraſtichis Exodi, vbi de ligno Merrhę, ſeu Marrhæ iniecto ait, lignum illud, quod ex amaris aquis effecit dulces, fuiſſe figuram S. Crucis.

——ἀλλὰ τόδε σταυροῦ ξύλον ἔπλετο τύπος,
Ὃς γλυκαίνει κακίης μεροπείας νάματα πικρά.
——*Lignum hoc fuit typus Crucis,*
Quæ dulceſcere facit malitiæ humanæ fluenta amara.

Ex tetraſtichis Numerorum.

Εἰς τὸν χαλκοῦν ὄφιν.

Ζῶντας δράκοντας θανατοῖ χαλκοῦς δράκων,
Ἆρ' οὖν ὁ χαλκὸς ποτ' ὄφεις ἐθανάτου;
Καὶ ποῦ πόθ' ἔγνω χαλκὸν ἐν θανασίμοις;
Οὐκ οὖν ὁ χαλκὸς, ἀλλ' ὁ τοῦ σταυροῦ τύπος.
Viuos dracones interficit æneus draco;
Num æs ſerpentes interficiebat?
Et vbi auditum eſt, æs eſſe in letiferis?
Non igitur æs, ſed typus Crucis interficiebat, ſcilicet viuos illos dracones.

Aliud in eundem.

Λέχριος ἐντετάνυστο ὄφις ξύλῳ ὀρθὰ βεβῶτι
Χάλκεος, ἀντίτυπος ζωῶν ὀφίων κακοεργῶν,
Τὸν, προσποτόμενοι, ὀφεώδηκτοι ἑβραῖοι,
Φύγγανον ἐκ κακότητος. ζωὸν δ' ὄφιν ὤλλυε νεκρός.
Obliquus extenſus eſt ſerpens in ligno erecto
Areus, oppoſita figura viuentium & nocentium ſerpentum.

Quem aſpicientes Hebræi à ſerpentibus icti
A pernicie liberabantur. Viuum autem ſerpentem
perdidit ſerpens vitæ expers.

Pulchrè de hac ænei ſerpentis crucifixione S. Maximus Homil. 1. de Paſſione & Cruce Domini. *Si affixus ſerpens ligno filiis Iſraël contulit ſanitatem, quanto magis ſalutem præſtat populis Dominus in patibulo crucifixus? Et ſi figura tantum profuit, quantum prodeſſe credimus veritatem? Serpens igitur primus crucifigitur. Rectè plane, vt quia primus apud Deum peccauerat diabolus, primus Crucis ſententia feriretur. In ligno enim crucifigitur, rationabiliter factum, vt quia homo in paradiſo per arborem concupiſcentiæ deceptus fuerat, nunc idem per ligni arborem ſaluaretur: atq; eadem materia quæ cauſſa mortis fuerat, eſſet remedium ſanitatis.*

Deinde poſt ſerpentem in ſaluatore homo ipſe crucifigitur, ſcilicet vt poſt autorem puniatur & facinus. Per primam enim Crucem vindicatum eſt in ſerpentem; per ſecundam in venena ſerpentis: hoc eſt, primum autor ipſe punitur, deinde eius malignitas condemnatur. Virus enim quod perſuaſione ſua in hominem tranſtulerat, nunc reiicitur, nunc curatur. Habentes igitur Dominum

Ieſum

Ieſum, qui nos paſſione ſua liberauit, in ipſum aſpiciamus ſemper; & ipſius ſigno ſperemus noſtris vulneribus medicinam, hoc eſt. Si forte nobis venenum auaritiæ ſe diffundit, ipſum conſideremus, & ſanat: ſi ſcorpionis nos libido compungit, ipſum rogemus & curat: ſi terrenarum cogitationum nos morſus lacerant, eundem precemur & viuimus. Hi enim ſunt ſpirituales ſerpentes animarum noſtrarum, propter quos conculcandos Dominus crucifixus eſt, de quibus ipſe ait: Super ſerpentes & ſcorpiones ambulabitis & nihil vobis nocebunt:

Sed attexamus alia Prodromi epigrammata.

Εἰς τὴν σταύρωσιν.

Εἴρχθης, ἐπαίχθης, ἐῤῥαπίσθης χριστέ μου.
Ο σταυρὸς ἤρθη, δεῦρο γοῦν σῶτερ πάθε.
Κεντοῦ, προσηλοῦ τῷ ξύλῳ, χολὴν πίνε.
Καὶ θνῆσκε τοῦ θανόντος ἀνθρώπου χάριν.
Chriſte mi incluſus, illuſus, & alapis cæſus es.
Crux iam erecta eſt. Veni igitur Saluator, patere.
Perforare, & ligno clauis affigere, fel bibe,
Et morere morientis hominis gratiâ.

 Eiuſ-

Eiuſdem Prodromi in Ioannem Chryſoſtomum, qui Antiochenis infeſtum Leonem fixa imagine Crucis occidit.

Δεινὸς μὲν εἶ θήρ. καὶ τί γάρ; εἰ θὴρ λέων
Χαίτην τινάττων, ἀνυπόστατα βρύχων;
Πλὴν οὐ τοσοῦτος, ὥστε τὸν σταυροῦ τύπον
Ἰδὼν, παρελθεῖν ἀπαθὴς, τὴν ἰδέαν.
Terrifica es bellua. Et quid enim? ſi bellua leo
Iubam quaſſans intolerabiliter rugit?
At tantus non eſt (Leo) *vt viſa Crucis imagine*
Illæſus ſpeciem illam tranſeat.

Per *τὴν ἰδέαν*, intelligit *εἰκόνα*, imaginem Crucis. vide Tom. 1. de ſancta Cruce lib. 2. cap. 63.

Nunc audi pietate plenam inſtitutionem ſancti Maximi. Homil. de Paſſione & Cruce Domini, quomodo Chriſtianus ad Crucem Redemptoris ſui ſe alligare debeat.

Sæculi ferunt fabulæ, Vlyſſem illum, qui decennio marinis iactatus erroribus ad patriam peruenire non poterat; cum in locum quendam curſus illum nauigij detuliſſet, in quo Sirenarum dulci

cantus

cantus crudelis varietate reſonabat, & aduenientes ſic blanda modulatione mulcebat, vt non tam ſpectaculum voluptatis caperent, quam naufragium ſalutis incurrerent. Talis enim erat illis oblectatio cantilenæ, vt quiſquis audiſſet vocis ſonitum, quaſi quadam captus illecebra, non iam tenderet ad eum, quem volebat portum; ſed pergeret ad exitium, quod nolebat. Igitur cum Vlyſſes incidiſſet hoc dulce naufragium, & ſuauitatis illius vellet declinare periculum, dicitur inſerta cera auribus ſociorum ſeipſum ad arborem nauigij religaſſe, quò & illi carerent pernicioſa auditus illecebra, & ſe de periculo nauigij curſus auferret.

Si ergo de Vlyſſe illo refert fabula, quod eum arboris religatio de periculo liberarit, quanto magis prædicandum eſt, quod vere factum eſt, hoc eſt, quod hodie omne genus hominum de mortis periculo Crucis arbor eripuit. Ex quo enim Chriſtus Dominus religatus in Cruce eſt, ex eo nos mundi illecebroſa diſcrimina velut clauſa aure trāſimus; nec pernicioſo enim ſæculi detinemur auditu, nec curſum melioris vitæ deflectimus in ſcopulos voluptatis. Crucis enim arbor non ſolum religatum ſibi hominem patriæ repræſentat, ſed etiam ſocios circa

ſe po-

ſe poſitos virtutis ſuæ vmbra cuſtodit. Quod autem Crux ad patriam poſt multos errores redire nos faciat, Dominus declarat dicens latroni in Cruce poſito: Hodie mecum eris in paradiſo. Qui vtique latro diu oberrans ac naufragus aliter ad patriam paradiſi, de qua primus homo exierat, redire non poterat, niſi fuiſſet arbori religatus. Arbor enim quædam in naui Crux in Eccleſia, quæ inter totius ſæculi blanda & pernicioſa naufragia incolumis ſola ſeruatur.

In hac ergo naui quiſquis aut arbori Crucis ſe religauerit, aut aures ſuas Scripturis diuinis clauſerit, dulcem procellam luxuriæ non timebit. Sirenarum enim quædam ſuauis figura eſt, mollis concupiſcentia voluptatum, quæ noxiis blandimentis conſtantiam captæ mentis effeminat. Ergo Dominus Chriſtus pependit in Cruce, vt omne genus hominum de mundi naufragio liberaret.

FINIS.

2/30

Mto. Sobrino quarenta cinco mil

BI